*Τοῖς ἐν Κρήτῃ εὐχέτης καὶ τοῦ κόσμου ὑπέρμαχος, καὶ ἡγιασμένος ἐφάνης, θεηγόρε πατὴρ ἡμῶν Ἰωάννη. Τελείᾳ πολιτείᾳ οὐρανοῦ καὶ ἄπειρα χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας καὶ πάντας τοὺς πιστῶς προσκαλουμένους σε. Δόξα τῷ ἀναδείξαντί σε ἱερόν, δόξα τῷ σὲ ἁγιάσαντι, δόξα τῷ ἐν τοῖς πέρασι τοῦ κόσμου προστάτην θερμὸν ἀναδείξαντι.*

Εἰς τὸν Ὄρθρον

Ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον τοῦ Ὁσίου: *Τοῖς ἐν Κρήτῃ εὐχέτης...*

Δόξα. Τῶν Μαρτύρων. Καὶ νῦν. Τοῦ Σταυροῦ (ὅρα ταῦτα εἰς τὸν Ἑσπερινόν).

Καθίσματα. Μετὰ τὴν Α' Στιχολογίαν.

Κάθισμα τοῦ Ὁσίου. Ἦχος πλ. δ'. *Τὴν σοφίαν καὶ λόγον.*

*Τῆς ἀσκήσεως πόνοις δοκιμασθεὶς καὶ ναοὺς ἐν τῇ Κρήτῃ οἰκοδομῶν, χρυσίου λαμπρότερον, εὐσεβείᾳ ἀπήστραψας. Καθαρὸν δοχεῖον ὑπῆρξας τοῦ Πνεύματος, πονηρῶν δαιμόνων τὸ σκότος ἐμείωσας. Ὅθεν συναθροίσας μοναζόντων ἀγέλας, ποιμὴν τούτων γέγονας καὶ φωστὴρ διαυγέστατος, Ἰωάννη, μακάριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.*

Δόξα, τὸ αὐτό. Καὶ νῦν τῆς ἑορτῆς ὅμοιον (*Τὸν Σταυρὸν τοῦ Σωτῆρος ἐπὶ τῆς γῆς...*)

Εἶτα ὁ πολυέλεος, καὶ μετ᾽ αὐτὸν Κάθισμα τοῦ Ὁσίου

Ἦχος α'. *Τὸν τάφον σου, Σωτήρ.*

*Τοῦ κόσμου τὰ τερπνὰ ἐκ καρδίας μισήσας, καὶ μόνον τὸν Θεὸν ἐκ ψυχῆς ἀγαπήσας, τὴν ἔρημον ὡς ἔνοικον, Ἰωάννη, κατέλαβες, ἐπιμόνως δὲ ταῖς θεωρίαις σχολάσας, ὤφθης ἄγγελος μετὰ σαρκὸς βιοτεύων, διὸ σὲ γεραίρομεν.*

Δόξα. Τοῦ μάρτυρος. Καὶ νῦν. Τῆς ἑορτῆς... *Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη.* Τὸ Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου.* Στίχος.

*Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.* Εὐαγγέλιον τοῦ Ὁσίου: *Εἶπεν ὁ Κύριος... πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου.* Ὁ Ν' Ψαλμός. Δόξα. *Ταῖς τοῦ σοῦ ὁσίου...* Καὶ νῦν. *Ταῖς τῆς Θεοτόκου... Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...* καὶ τὸ ἑπόμενον τοῦ Ὁσίου.

Ἦχος πλ. β'

*Δεῦτε, πάντες οἱ πιστοί. Νῦν τὸν πανεύφημον Ἰωάννην τὸν ἐν τῇ Κρήτῃ καὶ πιστῶς πανηγυρίσωμεν.*

*Σῶσον, ὁ Θεός, τὸν λαόν σου.* Τὸ *Κύριε ἐλέησον* ιβ', καὶ οἱ Κανόνες (Ὁ Κανὼν τοῦ Σταυροῦ μετὰ τῶν εἱρμῶν εἰς ς') τοῦ Ὁσίου εἰς δ' (καὶ τοῦ Μάρτυρος εἰς δ').

Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς: *Δημήτριος ἁμαρτωλὸς ἱερεὺς Σουρούμης*

Ὠδὴ α'. Ἦχος β'. *Δεῦτε, λαοί, ᾄσωμεν.*

*Δεῦτε, πιστοί, δεῦτε φιλέορτοι σήμερον, δεῦτε Κρητῶν ὁ σύλλογος, ἀνευφημήσωμεν τῶν ὁσίων τὸ κλέος, τὸν μέγαν Ἰωάννην τὸν ἀξιάγαστον.*

*Ἡ τριφεγγὴς τῆς τρισηλίου Θεότητος ἀκτίς, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν μου τὴν ζοφώδη, ἵν' ὅπως τὸν θεῖον Ἰωάννην ἐγκωμιάσω σοι.*

*Μαρμαρυγαῖς τῆς ὑπερφώτου ἐλλάμψεως καταυγασθείς, μακάριε, βίου τερπνότητα καὶ τὴν πρόσκαιρον δόξαν ἐκ βρέφους ἀπηρνήσω, Χριστῷ προσέδραμες.*

Θεοτοκίον: *Ἡ τὴν πηγὴν τῆς ἀπαθείας κυήσασα, τραυματισθέντα πάθεσι, Κόρη, θεράπευσον, καὶ πυρὸς αἰωνίου ἐξάρπασόν με, Κόρη θεοχαρίτωτε.*

Ὠδὴ γ'. Τοῦ Ὁσίου. *Στερέωσον ἡμᾶς, Κύριε.*

*Τῆς Κρήτης τὸν καρπὸν νῦν τὸν ἀμάραντον, τὸ ῥόδον τὸ εὔοσμον τῆς ἐρήμου, τῆς ἁγνείας τὸ λαμπάδιον, Ἰωάννην τὸν θεῖον εὐφημήσωμεν.*

*Ῥωννύμενος τῷ ὅπλῳ τῷ τῆς πίστεως, τὴν κάραν συνέτριψας τοῦ Βελίαρ, ἐν τῇ ῥάβδῳ τῶν ἀγώνων σου, καὶ αὐτοῦ τὰς ἐνέδρας διεσκέδασας.*

*Ἵν' ὅπως γεραίρω ὡς προστάτην μου καὶ ῥύστην ἐκ πάσης με καταδίκης καὶ παντοίας περιστάσεως, ἀπολύτρωσον, μάκαρ, τοὺς ὑμνοῦντάς σε.*

Θεοτοκίον: *Ὁ Λόγος τοῦ Θεοῦ ὁ πρὶν ἀόρατος, ὠράθη, Παρθένε, δι' εὐσπλαγχνίαν ἐκ γαστρός σου σωματούμενος. Διὰ τοῦτό σε πίστει μακαρίζομεν.*

Ὁ Οἶκος (Μάρτυρος Εὐσταθίου).

Κάθισμα τοῦ Ὁσίου. *Τὴν σοφίαν καὶ λόγον.*

*Ἀρετῶν εἰς τὸ ὕψος ἀναδραμὼν καὶ τὴν γνῶσιν τῶν ὄντων καταμαθών, πᾶσαν γὰρ ἐξέφυγες κοσμικήν, Πάτερ, σύγχυσιν, καὶ τὸν Σταυρὸν ἐπ' ὤμων ἀράμενος, Ὅσιε, συγγενεῖς καὶ πλοῦτον εἰς οὐδὲν λογισάμενος. Ὅθεν ἐπαξίως συνελθόντες ἐν πίστει τελοῦμεν τὴν ἔνδοξον καὶ ἁγίαν σου κοίμησιν, Ἰωάννη μακάριε. Πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.*



Ὠδὴ δ'. Τοῦ Ὁσίου. *Ἐλήλυθας ἐκ Παρθένου.*

*Στερέωσον κλονουμένην τὴν ποίμνην σου, Ὅσιε, ὑπὸ τῶν πικρῶν ἐχθρῶν νῦν καὶ δεινῶς κινδυνεύουσαν ἐκ χαλεπῶν κολάσεων παντοίων καὶ θλίψεων καὶ πικρᾶς τυραννίδος καὶ μάστιγος.*

*Ἀθόλωτον τὸν νοῦν καὶ τὴν καρδίαν ἐτήρησας τοῦ βίου συγχύσεως καὶ ἔξω κόσμου γενόμενος ἐκ βρέφους, μακάριε, διὸ ὡς ἔνοικον τὴν τοῦ Πνεύματος χάριν, Πάτερ, εἴληφας.*

*Μεγάλως ὁ Χριστός, θεοφόρε, ἐδόξασε. Τὴν Κρήτην γὰρ ἅπασαν ναῶν ἁγίων ἐπλήρωσας ὄντως καὶ ἐκόσμησας. Διὸ συμφώνως σέ, Πάτερ, ἐν αὐτοῖς τε νῦν σὲ γεραίρομεν.*

Θεοτοκίον: *Ἀνέτειλεν ἐκ γαστρός σου, Παρθένε, ὁ ἄδυτος ἥλιος καὶ ἅπασαν τὴν οἰκουμένην ἐφώτισε, καὶ τὸ σκότος ἔλυσε, τὴν ἀχλὺν ἐδίωξε τῶν δαιμόνων καὶ τοὺς ἠφάνισε.*

Καταβασία. *Εἰσακήκοα Κύριε...*

Ὠδὴ ε'. Τοῦ Ὁσίου. *Ὁ τοῦ φωτὸς χορηγός.*

*Ῥῦσαι παντὸς πειρασμοῦ, πάσης κακίας καὶ ἐχθρῶν στάσεως νόσων δεινῶν ταῖς σαῖς ἱκεσίαις καὶ πάσης ἀπειλῆς τοὺς ἐν πίστει καὶ πόθῳ σὲ νῦν γεραίροντας.*

*Τὸν κόσμον, Πάτερ, λιπών, καὶ τὰ τοῦ κόσμου παριδὼν ἅπαντα, τὴν δόξαν καὶ πλοῦτον καὶ πάσας τὰς ματαίας ἡδονάς, τῷ Χριστῷ ὃν ἐπόθεις, σοφέ, ἠκολούθησας.*

*Ὡς νουνεχὴς ἀληθῶς καὶ ἐμπειρότατος, σοφέ, ἔμπορος, πᾶσαν τὴν οὐσίαν ἀπέδωκας, ὠνήσω τὸν Χριστόν, τὸν ἄσυλον πλοῦτον, καὶ μαργαρίτην ἔντιμον.*

Θεοτοκίον: *Λῦσον κακῶν με, πολλῶν ἁμαρτιῶν καὶ πειρασμῶν, Δέσποινα, ταῖς σαῖς ἱκεσίαις, καὶ πάσης τῶν ἐχθρῶν ἐπιβουλῆς. Σὲ γὰρ ἔχω προστάτιν καὶ βοηθὸν ἐν θλίψεσι.*

Ὠδὴ ς'. Τοῦ Ὁσίου. *Ἐν ἀβύσσῳ πταισμάτων.*

*Ὁλοτρόπως Θεῷ εὐηρέστησας, μάκαρ Ἰωάννη, διό σε ἐδόξασε ταῖς τῶν θαυμάτων λάμψεσιν ἐν τῇ Κρήτῃ καὶ πᾶσι τοῖς πέρασι.*

*Σὺν ταῖς Ἄνω Δυνάμεσιν, Ὅσιε, νῦν χοροβατῶν εἰς τὰ ἄνω βασίλεια, ὑπὲρ ἡμῶν ἱκέτευε, τῶν ἐν πίστει καὶ πόθῳ τιμώντων σε.*

*Ἰδού, Πάτερ, τὰ τέκνα σου σήμερον, ἐν τῇ σῇ μονῇ συνηγμένα,*

*γεραίρουσι σὺν φιλεόρτοις τάξεσι, σοῦ τὴν θείαν καὶ πάνσεπτον κοίμησιν.*

Θεοτοκίον: *Ἐλεήμονα Λόγον ἡ τέξασα, τοῦτον καθικέτευε τοῦ ἐλεῆσαί με καὶ ῥῦσαι τῆς κολάσεως καὶ ζωῆς κληρονόμον ποιῆσαί με.*

Καταβασία. *Νοτίου θηρὸς ἐν σπλάγχνοις.*

Κοντάκιον τοῦ Ὁσίου. Ἦχος β΄. *Τὰ ἄνω ζητῶν.*

*Τὸν κόσμον λιπών, ποθῶν τὰ ὑπερκόσμια, καὶ Κρήτης δραμὼν τὰ ὄρη, Πάτερ ὅσιε, ἐν αὐτοῖς ἀσκούμενος, τῶν Ἀγγέλων γέγονας ὁμοδίαιτος. Σὺν αὐτοῖς δυσώπει Χριστὸν ῥυσθῆναι κινδύνων τοὺς ὑμνοῦντάς σε.*

Ὁ Οἶκος

*Σοφίας Θεοῦ ὑπάρχεις βλάστημα, Ἰωάννη ὅσιε. Παιδιόθεν ἐπόθησας σοφίαν τὴν ἐνυπόστατον, ἣν καὶ συνοικήσας ἀπὸ γῆς σε ἐχώρισε, καὶ πρὸς ὕψος ἀνήγαγεν, ἐξ ἀύλων ἀνθέων πλέξασα στέφανον καὶ τῇ σῇ ἐπιθεῖσα ἡγιασμένῃ κάρᾳ, θεοφόρε μακάριε. Ἣν περ κεκοσμημένος ἐξιλέωσαι τὸν Κτίστην σου, δοθῆναί μοι σοφίας λόγον, ἐπαξίως ὑμνῆσαι τὴν σὴν ἁγίαν κοίμησιν, ἣν ἐδόξασε Χριστὸς ὁ Θεὸς ἡμῶν. Αὐτὸν οὖν, Πάτερ, ἱκέτευε ῥυσθῆναι κινδύνων τοὺς ὑμνοῦντάς σε.*

⟨Μηνολόγιον⟩

*Τῇ Εἰκοστῇ τοῦ μηνὸς Σεπτεμβρίου μνήμην ἐπιτελοῦμεν τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Κὺρ Ἰωάννου τοῦ ἐν τῇ Κρήτῃ.*

*Εὕροιμέν σε ἅπαντες, Ἰωάννη, προστάτην,*
*πρὸς Θεὸν ἀεὶ τὸν τῶν ἁπάντων κτίστην.*
*Εἰκάδι Ἰωάννης μετέστη πρὸς Κύριον.*

*Τῇ αὐτῇ ἡμέρᾳ... μεγαλομάρτυρος Εὐσταθίου· τοῦ Ὁσίου τὸν βίον ζήτει ἔμπροσθεν, καὶ τοῦ Μάρτυρος εἰς τὸν Παλαιὸν θησαυρόν.*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠδὴ ζ΄. Τοῦ Ὁσίου. *Ἀντίθεον πρόσταγμα.*

*Ῥημάτων ὁ φθόγγος σου καὶ τῶν θαυμάτων ἡ χάρις ἡ ἔνθεος, τὴν Κρήτην πᾶσαν ἔπλησε, πιστοὺς δὲ ἐφώτισε καὶ κατελάμπρυνε αἴγλῃ τῇ τοῦ Πνεύματος, Κύριε Ἰωάννη, ὁσίων τὸ καύχημα.*

*Εἰς δόξαν καὶ αἴνεσιν τοῦ Ποιητοῦ σου, τὴν Κρήτην ἐνέπλησας ναῶν ἁγίων, πανόλβιε, ἡμεῖς δὲ σήμερον, τὴν θείαν μνήμην πιστῶς ἐκτελοῦντες, κράζομεν· Ἅγιε, ἡμᾶς σῶσον τοὺς σὲ γεραίροντας.*

*Ὑπὲρ τῶν τελούντων σου τὴν θείαν μνήμην, μὴ παύσῃ δεόμενος καὶ πάντων τῶν ὑμνούντων σε ῥυσθῆναι κολάσεως καὶ πάσης κατακρίσεως, πάσης ἐχθρῶν στάσεως, Κύριε Ἰωάννη, Κρήτης τὸ καύχημα.*

Θεοτοκίον: *Σταγόνα μοι ὄμβρησον δακρύων, ὅπως, Παρθένε πανάμωμε, κλαύσω τὰς ἁμαρτίας μου πικρῶς, καὶ παράσχῃ μοι αὐτῶν τὴν ἄφεσιν καὶ λύσιν ὁ Υἱός σου, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.*



Καταβασία. *Ἔκνοον πρόσταγμα.*

Ὠδὴ η΄. Τοῦ Ὁσίου. *Τὸν ἐν καμίνῳ πυρός.*

*Σέ, τὸν τῆς Κρήτης βοηθόν, τῶν Κυδώνων τὸν φρουρὸν καὶ προστάτην, τῶν πιστῶν καὶ νοσούντων τὸν ἔμπειρον ἰατρόν, ὕμνοις ἐγκωμίων γεραίρομεν καὶ ἀνυμνοῦμεν, Κύριε Ἰωάννη.*

*Οὐρανομήκης ἀληθῶς καὶ ἀκράδαντος φανεὶς στῦλος, παμμάκαρ, καὶ ἀσάλευτος πύργος τοῖς πειρασμοῖς, τῶν ἐχθρῶν ἀποκρούων τὰ ἔνεδρα, ταῖς σαῖς ἐναρέτοις πράξεσι, θεοφόρε.*

*Ὑπὲρ ἡμῶν τὸν Λυτρωτὴν Θεὸν πρέσβευε, παμμάκαρ Ἰωάννη, τοῦ ῥυσθῆναι κινδύνων καὶ νοσημάτων καὶ παντοίας περιστάσεως τοὺς τῷ θείῳ τούτῳ ναῷ σου προσφεύγοντας.*

Θεοτοκίον: *Ῥῶσιν καὶ δύναμιν καὶ ἰσχὺν καὶ ἀνδρείαν κατ' ἐχθρῶν τῶν ἐκζητούντων ἀπολέσαι με, ὅλως, τὸν πεποιθότα εἰς σέ, πρεσβείαις σου ἀφάνισον τούτους, Παναγία, ἐλπὶς ἀπηλπισμένων.*

Ὠδὴ θ΄. Τοῦ Ὁσίου. *Ἀνάρχου γεννήτορος.*

*Ὁσίως τὸν βίον σου, παμμάκαρ, ἐπετέλεσας, τῶν ὁσίων ζηλώσας τὰ κατορθώματα· διὸ σὺν ὁσίοις χορεύεις ἐν οὐρανοῖς καὶ πᾶσιν ἁγίοις, καὶ πρεσβεύεις τῷ Κτίστῃ σου ὑπὲρ πάντων τῶν τιμώντων σε.*

*Ὑπὲρ τῆς πατρίδος σου, τῆς ταπεινῆς καὶ τλήμονος μὴ ἐλλείπῃς πρεσβεύων τὸν μόνον εὔσπλαγχνον, μάκαρ Ἰωάννη, ἵν' ὅπως ταῖς σαῖς εὐχαῖς τῆς νῦν συνεχούσης ῥυσθῇ κακώσεως καὶ παντοίας ἐχθρῶν στάσεως.*

*Μονὴν τὴν ἁγίαν σου ταύτην, πάτερ πανόλβιε, καὶ τοὺς ἐν αὐτῇ ἐκτελοῦντας τὴν θείαν μνήμην σου, καὶ δοξολογοῦντας καὶ ψάλλοντας εὐλαβῶς, καὶ ἅπαν τὸ πλῆθος τῆς πανηγύρεως ἐκ παντοίας βλάβης λύτρωσον.*

*Ἡ Κρήτη εὐφραίνεται κηρύττουσα τὰ θαύματα, Κύριε Ἰωάννη, καὶ κατορθώματα καὶ δοξολογεῖ εὐχαρίστως τὸν Λυτρωτήν, τὸν δι' εὐσπλαγχνίαν ἑαυτὸν παρασχόντα ταύτῃ τοιοῦτον φύλακα.*

Θεοτοκίον: *Σὲ μόνην ὁ δοῦλός σου ἐπικαλοῦμαι, Δέσποινα, τὴν ἐλπίδα μου πᾶσαν καὶ καταφύγιον, ὅπως ταῖς σαῖς ἱκεσίαις καὶ δι' εὐχῶν τοῦ Ἰωάννου, ῥυσθῶ ὁ πανάθλιος τῆς μενούσης με κολάσεως.*

Καταβασία: *Μυστικὸς εἶ, Θεοτόκε, παράδεισος.*

Ἐξαποστειλάριον τοῦ Ὁσίου. *Ὁ οὐρανὸν τοῖς ἄστροις.*

*Τῶν ἀσκητῶν τὸ κλέος καὶ τῶν ὁσίων καλλονήν, τὸ θεῖον βλάστημα Κρήτης, ἀνευφημήσωμεν, πιστοί, τὸν κύριον Ἰωάννην, τὸν θεῖον καὶ μέγαν ἡμῶν προστάτην.*

Εἰς τοὺς Αἴνους ἱστῶμεν στιχηρὰ δ' προσόμοια.

Ἦχος α'. *Τῶν οὐρανίων ταγμάτων.*

*Τὸν Ἰωάννην τὸν μέγαν ὕμνοις τιμήσωμεν, τὸν θαυμαστὸν προστάτην τῶν ἐπικαλουμένων πάντες· καὶ γὰρ οὗτος Χριστὸν τὸν Θεὸν τὸν Σωτῆρα καὶ Κύριον, ὑπὲρ ἡμῶν ἱκετεύει ἐκ πειρασμῶν λυτρωθῆναι καὶ κολάσεως.*

*Ὑπὲρ ἡμῶν τῶν ἐν πίστει, σοῦ τὴν πανένδοξον καὶ φωτοφόρον μνήμην ἐκτελούντων, μὴ παύσῃ, Κύριε Ἰωάννη, τὸν Λυτρωτὴν ἱκετεύων καὶ Κύριον, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν καὶ πυρὸς τοῦ αἰωνίζοντος.*

<Τὸ τρίτον προσόμοιον τοῦ Μάρτυρος Εὐσταθίου>

Δόξα. Τοῦ ὁσίου. Ἦχος πλ. β'.

*Θεία Χάρις ἀπηώρητο ἐπὶ τῇ θήκῃ τῶν λειψάνων σου, ἡγιασμένε, Πάτερ. Διὸ καὶ εἰς ὀσμὴν μύρου τῶν θαυμάτων σου δραμούμεθα τῶν νοσημάτων τὴν ἴασιν ἀρυόμενοι. Ἀλλά, Πάτερ ὅσιε κύριε Ἰωάννη, Χριστὸν τὸν Θεὸν ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.*

Καὶ νῦν (τοῦ Σταυροῦ)

Δοξολογία μεγάλη. Εἰς τὴν Λειτουργίαν Τυπικά, Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων τοῦ Ὁσίου δ'. Ἀπόστολος τοῦ ἁγίου Δημητρίου 26ης Ὀκτωβρίου. Εὐαγγέλιον ὁσιακόν: *Ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ* (ζήτει τῇ Παρασκευῇ τῆς Β' ἑβδομάδος τοῦ Λουκᾶ, ς', 17 - 23). Κοινωνικόν. *Εἰς μνημόσυνον αἰώνιον*, καὶ τὰ λοιπὰ τῆς Θείας Λειτουργίας, ὡς σύνηθες.

Μακαριστικὰ ψαλλόμενα εἰς τὸν ὅσιον Ἰωάννην (ὁμοῦ καὶ εἰς τὸν ἀθλητὴν Εὐστάθιον). Στάσις Α' πρὸς τὸ *Ἡ Ζωὴ ἐν τάφῳ*, καὶ αἴτησις. Στάσις Β' *Ἄξιον ἐστὶν* τοῦ Ὁσίου. Δόξα. Καὶ νῦν.

*Ἄχραντε Ἁγνή, διαφύλαττε τὸν οἶκον τοῦτον, ὃν ὁ Ἰωάννης ἀνήγειρεν, ἐπ' ὀνόματι, Πανύμνητε, τῷ σῷ.*

*Ἄξιον ἐστὶν* τὸ πρῶτον. Καὶ ἡ αἴτησις. Στάσις Γ' *Αἱ γενεαὶ πᾶσαι*. Τοῦ Ὁσίου... Αἴτησις. Ἀπόλυσις.

**7 - 2 - 1985**



## ΤΑ ΣΥΝΑΓΟΜΕΝΑ ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΤΗΣ ΔΡΑΣΕΩΣ ΑΥΤΟΥ ΕΚ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ Κ

*Καταγωγή*: Τὸ θεῖον βλάστημα Κρήτης. Τῆς Κρήτης ὁ καρπός. Ἐξ αὐτῆς γὰρ ἐβλάστησεν Ἰωάννης ὁ θεόφυτος. Ἡ ἑκατόμπολις Κρήτη ἀγάλλεται καὶ πανηγυρίζει.

*Ἄσκησις*: Παιδιόθεν ἐπόθησας σοφίαν τὴν ἐνυπόστατον. Βίου τερπνότητα καὶ πρόσκαιρον δόξαν ἐκ βρέφους ἀπηρνήσω. Τοῦ κόσμου τὰ τερπνὰ ἐκ καρδίας μισήσας, καὶ μόνον τὸν Θεὸν ἐκ ψυχῆς ἀγαπήσας, τὴν ἔρημον ἔνοικον κατέλαβες. Κρήτης δραμὼν τὰ ὄρη ἐν αὐτοῖς ἀσκούμενος.

*Κήρυγμα*: Ῥημάτων ὁ φθόγγος σου... τὴν Κρήτην πᾶσαν ἔπλησε. Κυδωνίας φωστήρ, τῶν Κρητῶν πρεσβευτής.

*Οἰκοδομήματα*: Καὶ ναοὺς πᾶσαν Κρήτην ἀνεπλήρωσας. Καὶ ναοὺς ἐν τῇ Κρήτῃ οἰκοδομῶν. Τὴν Κρήτην ἅπασαν ναῶν ἁγίων ἐπλήρωσας. Τὴν Κρήτην ἐνέπλησας ναῶν ἁγίων. Ναοὺς ἐγείρας ἐν τῶν Κρητῶν τῇ νήσῳ, ἐν ταύτῃ ἐδοξάσθη.

*Κατάρτισις μοναστῶν*: Συναθροίσας μοναζόντων ἀγέλας, ποιμὴν τούτων γέγονας καὶ φωστήρ. Εὐφραίνου στίφος τῶν μοναζόντων, ἡ ποίμνη δὲ χόρευε ἡ ἐν Κρήτῃ.

*Μονὴ Θεοτόκου*: Ἄχραντε, Ἁγνή, διαφύλαττε τὸν οἶκον τοῦτον, ὃν ὁ Ἰωάννης ἀνήγειρεν ἐπ' ὀνόματι, Πανύμνητε, τῷ σῷ.— (Δ. Σουρούμης:) Ἰδού, Πάτερ, τὰ τέκνα σου σήμερον ἐν τῇ σῇ μονῇ συνηγμένα γεραίρουσι. Μονὴν τὴν ἁγίαν σου ταύτην καὶ τοὺς ἐν αὐτῇ ἐκτελοῦντας τὴν θείαν μνήμην σου... καὶ ἅπαν τὸ πλῆθος τῆς πανηγύρεως ἐκ παντοίας βλάβης λύτρωσον.

*Κρήτη - Κυδωνία* : Τῆς Κυδωνίας τὸ καύχημα τὸ λαμπρὸν καὶ τῆς Κρήτης τὸ ἀγλάϊσμα. Τῆς Κρήτης τὸ καύχημα, Κυδώνων ἀγλάϊσμα καὶ προστάτα. Τὸν πανεύφημον Ἰωάννην τὸν ἐν τῇ Κρήτῃ... πανηγυρίσωμεν. Τῶν Κρητῶν ὁ σύλλογος ἀνευφημήσωμεν.

*Ἐπίθετα*: Κύριος, ὅσιος, ἀσκητὴς μέγας καὶ σοφός. Μάκαρ, μακαριώτατος, παμμάκαρ, ἁγιώτατος πατήρ. Κρήτης φύλαξ, σοφός. Κυδωνίας φωστήρ, τῶν Κρητῶν πρεσβευτής. Μιμητὴς Παύλου τοῦ Θηβαίου. Βίον τοῦ σοφοῦ Ἀντωνίου ᾑρετίσω, διαιτῶν τὰς ἐρήμους.

*Λείψανα*: Ἡ τῶν λειψάνων σου θήκη... πηγάζει ἰάματα. Ἡ σὴ ἡγιασμένη κάρα. Θεία χάρις ἀπηώρητο ἐπὶ τῇ θήκῃ τῶν λειψάνων σου, ἡγιασμένε πάτερ. Τιμῶμεν τὴν σορὸν τῶν λειψάνων σου.

*Εἰκών*: Τὴν θείαν σου εἰκόνα τιμῶμεν. Τιμῶν σου τὴν εἰκόνα τὴν πάνσεπτον καὶ τὴν θήκην τῶν λειψάνων σου.

*Δεητικά*: Ἀ π α λ λ α γ ὴ τ ῆ ς Τ υ ρ α ν ν ί δ ο ς: Ὑπὲρ τῆς σῆς Πατρίδος μὴ παύσῃς ἱκετεύων. Τοῖς ἐν Κρήτῃ (ὢν) εὐχέτης. Μαδιανιτῶν ἐκ πικρᾶς δ ο υ λ ε ί α ς τὴν σὴν ποίμνην ἐ λ ε υ θ έ ρ ω σ ο ν. Ἐκ φθορᾶς β α ρ β ά ρ ω ν, ταῖς ἱκεσίαις σου, σῶσον τὴν ποίμνην σου.

Σὲ τὸν τῆς Κρήτης βοηθόν, τῶν Κυδώνων τὸν φρουρὸν καὶ προστάτην (ἐπικαλούμεθα).

(Δημ. Σουρούμης:) Στερέωσον κ λ ο ν ο υ μ έ ν η ν τὴν ποίμνην σου, ὅσιε, ὑπὸ τῶν π ι κ ρ ῶ ν ἐ χ θ ρ ῶ ν ⟨Τούρκων⟩... καὶ π ι κ ρ ᾶ ς τ υ ρ α ν ν ί δ ο ς καὶ μ ά σ τ ι γ ο ς. Ὑπὲρ τῆς Πατρίδος σου ⟨Κρήτης⟩, τῆς ταπεινῆς καὶ τ λ ή μ ο ν ο ς, μὴ ἐλλείπῃς πρεσβεύων, ὅπως ῥυσθῇ κ α κ ώ σ ε ω ς καὶ παντοίας ἐ χ θ ρ ῶ ν στάσεως.



# ΜΕΡΟΣ ΤΕΤΑΡΤΟΝ

## Ο ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ ΕΡΗΜΙΤΗΣ (ΓΔΕΡΝΕΤΤΟΥ) ΚΑΙ Η ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΤΟΥΣ 1782

## Α΄

### I. Η ΚΑΤΑ ΤΟ 1632 ΓΕΝΟΜΕΝΗ ΑΓΙΟΠΟΙΗΣΙΣ (ΚΑΝΟΝΙΣΜΟΣ) ΙΩΑΝΝΟΥ ΤΟΥ ΕΡΗΜΙΤΟΥ ΚΑΙ ΤΩΝ 98 ΠΑΤΕΡΩΝ ΣΥΝΑΣΚΗΤΩΝ ΚΑΙ ΤΟ ΣΧΕΤΙΚΟΝ ΣΙΓΙΛΛΙΟΝ

ὑπὸ τοῦ Κωνσταντινουπόλεως Κυρίλλου, τοῦ Ἐφέσου Μελετίου, τοῦ Χαλκηδόνος Νεκταρίου τοῦ Θεσσαλονίκης Ἀθανασίου τῶν Κρητῶν, κ.ἄ. ἀρχιερέων γενομένη συνοδικῶς.

Τὸ Σιγίλλιον περὶ Κανονισμοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Ἐρημίτου καὶ τῶν σὺν αὐτῷ διαλαμψάντων ἐν Κρήτῃ 98 θεοφόρων Πατέρων ἐδημοσιεύθη τὸ πρῶτον εἰς τὴν ἀνατύπωσιν τῆς (α΄ ἐκδόσεως) Γ τὸ 1787 ἐν Ἑνετίᾳ, ἔκτοτε δὲ ἀκολουθεῖ τὰς νεωτέρας ἐκδόσεις ὑπὸ τὸν αὐτὸν τύπον, φέρον χρονολογίαν μὲν 29 Ἀπριλίου 1632, ὑπογραφὰς δέ, ἐκτὸς τοῦ Κυρίλλου Α΄ ἑτέρων εἴκοσι καὶ ἑνὸς ἀρχιερέων, ἐν οἷς Κρῆτες ἦσαν ὁ Θεσσαλονίκης Ἀθανάσιος (ὁ Πατελλάρος, εἶτα πατριάρχης), ὁ Ἐφέσου Μελέτιος, ἐκ τῶν ἄλλων δὲ ἱστορικὰ πρόσωπα γνωστότατα ὁ Βερροίας Κύριλλος (Κονταρῆς) καὶ ὁ Γάνου καὶ Χώρας Ἰωαννίκιος, ἀμφότεροι πατριαρχεύσαντες μετὰ ταῦτα. Ἐξ ὅσων δ' ἐξηκρίβωσα αἱ ὑπογραφαὶ ἀντιστοιχοῦν πρὸς πράγματι τὸ 1632 διατελοῦντας ἀρχιερεῖς τῆς ἣν ὑπογράφονται ἐπαρχίας.

Ποῖος συνέταξε τὸ κείμενον τοῦ Κανονισμοῦ τούτου;

Ὡς πρὸς τὸν προηγηθέντα Κανονισμὸν τοῦ ἁγίου Γερασίμου Κεφαλληνίας (Ἰούλιος 1622) ἀποφασισθέντα ὑπὸ Συνόδου ἀρχιερέων εἰς ἣν μάλιστα μετεῖχον καὶ οἱ πατριάρχαι Ἀντιοχείας Ἰωακεὶμ καὶ Ἱεροσολύμων Θεοφάνης, εἶναι παραδεδεγμένον ὅτι συντάκτης τῆς σχετικῆς πράξεως ὑπῆρξεν ὁ φίλος τοῦ Λουκάρεως Θεόφιλος Κορυδαλλεὺς (1569 - 1646), ὁ ὡς ἀρχιερεὺς Ναυπάκτου Θεοδόσιος, καὶ διαμένων τότε εἰς Ἑπτάνησον.

Ὡς πρὸς τὸ σιγίλλιον δι' οὗ ἀγγέλλεται ὁ κανονισμὸς τοῦ Ἰωάννου Ἐρημίτου καὶ τῶν συνασκητῶν του ἦτο προφανὲς ὅτι τὸ κείμενον ἢ ἐνόσει ἢ δὲν

εἶχεν ὀρθῶς ἀναγνωσθῇ ὑπὸ τοῦ πρώτου ἐκδότου του. Καὶ τοῦτο διότι ὁ ἐκδότης τοῦ 1787 ἠγνόει ἄλλην του μορφήν.

Πράγματι διὰ τοῦ κώδικος Ἰβήρων 576 τοῦ α΄ ἡμίσεος τοῦ ιζ΄ αἰῶνος, παρεδόθη ἀνεπίγραφον καὶ ἀνυπόγραφον ὀρθότερον καί πως διάφορον κείμενον ἐπιγραφόμενον μὲν «Μελετίου εἰς τὸν Κανονισμόν...», χρονολογούμενον δὲ «τὸ ,αχλβ΄ ἔτος τὸ σωτήριον, τῇ ἡμέρᾳ τῆς τοῦ Χριστοῦ Γεννήσεως», δηλονότι 25 Δεκεμβρίου 1632.

Τοῦτο δημοσιεύω περαιτέρω[1], προσθεὶς ἐν τέλει τὸν χρονισμὸν καὶ τὰς ὑπογραφὰς τοῦ ἐντύπου σιγιλλίου. Γεννῶνται ὅμως ἐκ τοῦ κειμένου τούτου δύο ἐρωτήματα. Τὸ πρῶτον εἶναι τίς ἦτο ὁ λογιώτατος καὶ θεολογικώτατος συντάκτης τοῦ κειμένου, δι' οὗ ὁ Κύριλλος ὁ Λούκαρις ἀνεγνώριζεν οὐ μόνον τὴν πρὸς τοὺς ἁγίους ὀφειλομένην τιμήν, ἀλλὰ καὶ τὰ δι' αὐτῶν ἐνεργούμενα θαύματα καί, πρῶτος αὐτός, ἐχώρει εἰς κανονισμὸν τῆς ἁγιότητος καὶ τῆς μνήμης δι' ἅπασαν τὴν Ὀρθόδοξον Ἐκκλησίαν;

Ὁ μὲν Μελέτιος Πηγᾶς εἶχεν ἀποθάνει πρὸ πολλοῦ. Ὁ δὲ γέρων πλέον Μελέτιος Βλαστὸς εὑρίσκετο εἰς Κρήτην. Ὁ Κρὴς Μελέτιος Πανττάγαλος Ἐφέσου δὲν φέρεται ὡς συγγραφεὺς ἀναλόγων κειμένων. Μελέτιος Κρὴς καὶ δεινὸς θεολόγος, τῆς συντηρητικῆς παρατάξεως μάλιστα, μαθητὴς δὲ τοῦ Θ. Κορυδαλλέως καὶ τότε εὑρισκόμενος ἐν Κωνσταντινουπόλει συγγραφεὺς συναξαρίων καὶ Ἀκολουθιῶν τόσον ἁγίων ὅσον καὶ Νεομαρτύρων εἶναι Μελέτιος ὁ Συρίγου (ἢ Συρίγος) (1585 - 1663). Εἶναι γνωστὸν ὅτι τὴν 25ην Δεκεμβρίου 1631 ὁ Μελέτιος ἐκήρυξεν ἐν τῷ πατριαρχικῷ ναῷ τῆς Κωνσταντινουπόλεως, παρουσίᾳ τοῦ πατριάρχου[2]. Καὶ ὅτι πρὸ τοῦ Πάσχα τοῦ 1632 μετέβη εἰς Μολδαβίαν, ὅθεν ἐπέστρεψε τὸ θέρος τοῦ 1633. Ὡς πρὸς τὴν χρονολογίαν 1632 νομίζω ὅτι δὲν εἶναι ὀρθή. Ἐὰν αὐτὴ ἦτο ὀρθή, τότε ἡ τοῦ δημοσιευθέντος σιγιλλίου θὰ ἦτο ἐσφαλμένη καὶ θὰ ἔπρεπε νὰ εἶναι 29 Ἀπριλίου 1633. Ἐφ' ὅσον τοῦτο ἀναφέρεται εἰς τὴν συνοδικὴν πρᾶξιν τοῦ Κανονισμοῦ, τὸ σιγίλλιον, ὡς καθιστῶν ταύτην γνωστὴν πρὸς τοὺς τιμῶντας ἤδη τὸν ὅσιον Ἰωάννην Κρῆτας, ἔπρεπε νὰ κοινοποιηθῇ εἰς αὐτοὺς κατὰ Δεκέμβριον 1632 ἢ ὀλίγον μετὰ ταῦτα (καὶ οὐχὶ 4 μῆνας ἀργότερον, Ἀπρίλιον 1633, ἂν ὑποθέσωμεν ὅτι ἐκεῖ ἦτο τὸ λάθος). Ἡ ὀρθὴ χρονολογία θὰ ἦτο ἐν προκειμένῳ διὰ μὲν τὴν πρᾶξιν τὸ 1631, διὰ δὲ τὸ σιγίλλιον ἡ ὑπάρχουσα. Ἀλλὰ

1. Ἐξ ἀντιγράφου, ὅπερ προφρόνως, τῇ αἰτήσει μου, παρεσκεύασεν ἰδιοχείρως ὁ ἐν Θεσσαλονίκῃ φίλος συνάδελφος κ. Παν. Χρήστου, διευθυντὴς τοῦ Πατριαρχικοῦ Ἱδρύματος Πατερικῶν Μελετῶν, ἐκ τῆς ἐκεῖ μικροταινίας, διὸ καὶ θερμῶς καὶ ἐντεῦθεν τὸν εὐχαριστῶ.

2. Πρβλ. Ἀθ. Παπαδοπούλου Κεραμέως, περὶ τῶν ὁμιλιῶν Μελετίου τοῦ Συρίγου, ΔΙΕΕ 2, 1887, σσ. 440-447, ἐν σ. 441, ὅπου ἐκ τοῦ κειμένου αὐτοῦ τῶν ὁμιλιῶν του δείκνυται ὅτι ὁ Συρίγος τὸ πρῶτον ἀνῆλθεν εἰς τὸν πατριαρχικὸν ἄμβωνα τὰ Χριστούγεννα τοῦ 1631.



πότε ἀκριβῶς ἔλαβε τὴν σχετικὴν ἀπόφασιν ἡ συγκληθεῖσα Σύνοδος δὲν ἐγνώριζεν ὁ μεταβὰς εἰς τὰς Ἡγεμονίας Συρίγος. Ἐπανελθὼν ἔμαθεν ὅτι τοῦτο εἶχε γίνει; Ἀπίθανα καὶ τὰ δύο. Μᾶλλον ἄλλο συνέβη:

Ὁ γράψας τὸν Ἰβηριτικὸν κώδ. 576 καὶ ἐκ τῶν ὑστέρων καταχωρίσας τὸ σχέδιον τοῦ Συρίγου, δὲν ἐνεθυμεῖτο ἀκριβῶς πότε ἔγινεν ἡ πρᾶξις, ἢ συνέχυσε τὴν ἡμερομηνίαν ταύτην πρὸς τὴν 25ην Δεκεμβρίου 1631 καθ' ἣν ὁ Μελέτιος ὡμίλησεν εἰς τὰ Πατριαρχεῖα ἀπ' ἄμβωνος, ἢ ἀκριβολογῶν ἁπλῶς ἔθηκε τὸ 1632 ἀντὶ τοῦ 1631.

Ἐκεῖνο τὸ ὁποῖον ἔχει ἐδῶ σημασίαν εἶναι ὅτι τὸ σχέδιον εἶναι ἀκριβέστερον, καὶ ἐὰν εἶναι τὸ σχέδιον τῆς πράξεως, δυνατὸν νὰ μετηνέχθη εἰς τὸ σιγίλλιον, ἢ καὶ νὰ ἀντεγράφη συντομευθέν πως ἢ ἀλλαγὲν ὡς πρὸς τὴν διατύπωσιν καὶ δὴ τὸν χρόνον καθ' ὃν ἔζησαν οἱ ἅγιοι. Τὰς τοιαύτας ταλαιπωρίας ὑφίσταται ἐν συνεχείᾳ τὸ ἐν λόγῳ κείμενον συνεχῶς φθειρόμενον κατὰ τὰς ἀνατυπώσεις, ὧν ἡ ἐσχάτη εἶναι ὄντως ἀθλία (ἀνορθόγραφος). Παρὰ ταῦτα, διορθῶν τὰ προφανῆ σφάλματα, ἀναδημοσιεύω τὸ τελευταῖον μέρος τοῦ σιγιλλίου τούτου (Β) πρὸς τυχὸν παραβολήν.

### *Κύριλλος, ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως καὶ οἰκουμενικὸς πατριάρχης*

⟨*Τοῖς ἐν Κρήτῃ Ὀρθοδόξοις Χριστιανοῖς*⟩

1

Κῶδιξ Ἰβήρων *576* (4696 Λάμπρος), φ. 203β: *Μελετίου* ⟨Συρίγου⟩ *εἰς τὸν Κανονισμὸν τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐρημίτου γεγονότα κατὰ τὸ ,αχλβ΄ ἔτος τῆς σωτηρίας, τῇ ἡμέρᾳ τῶν Χριστουγέννων.*

*Ἄριστά τε καὶ ἐσκεμμένῃ ὡς ἐχρῆν διανοίᾳ οἱ ἐγγυτάτω τοῦ Χριστοῦ πατέρες θεόπνευστοι τῷ τῆς Ἐκκλησίας παρέδωκαν πληρώματι τοὺς ὁπωσποτοῦν ἐναρέτως τὸ ζῆν διὰ τὴν πάντων ζωήν, τὸν Χριστόν, διανύσαντας καὶ τὴν ἀρετὴν τῷ θανάτῳ σφραγίσαντας, φθάσαντας δικαίως τελευτῆσαι, κατὰ τὸ λόγιον, μετὰ τὴν ἐνθένδε τούτων μετανάστασιν ὕμνοις τιμᾶσθαι καὶ ἐτησίαις πανηγύρεσιν· ἀρχαῖον γάρ τοι τὸ ἔθος καὶ ἀνέκαθεν αὐτοῖς παραδεδομένον ἐνόμισαν, ναὶ μὴν καὶ δίκαιον καὶ ὅσον οἷον κοινωφελές. Τήν τε γὰρ Ἰακὼβ τελευτὴν μακρῷ τῷ πένθει πᾶσα ἡ Αἴγυπτος ἐτίμησεν, ὡς καὶ στήλην γενέσθαι τοῖς Χαναναίοις τὴν Ἀτὰδ ἅλωνα* (Γέν. 50, 10 - 11), *οὗ ταῦτα ἐγίγνετο, καὶ τὸν Μωυσῆν δέ, ὃν πολλάκις ζῶντα παρώξυναν οἱ ἐξ Ἰσραήλ, τελευτήσαντα ἐτίμησαν* (Δευτερ. 34, 5 - 8) *καὶ τῶν μεγαλουργιῶν τοῦ Θεοῦ, αἳ δι' αὐτοῦ ἐγεγόνεισαν, μνείαν καθ' ἑκάστην ποιούμενοι, αὐτόν τε δι' εὐφήμου μνήμης ἄγουσιν καὶ ἐπαχθῶς πρὸς τοὺς παροξύναντας δοκοῦσι φέρε-*

*σθαι. Τόν τε Σαμουήλ, ὃν περιόντα ἀπεστράφησαν, θανόντα οὐ μόνον κοπετοῖς ἐνεκωμίασαν, ἀλλὰ καὶ Σαοὺλ ἐκζητήσας ὁ βασιλεὺς καὶ διὰ τῆς ἐγγαστριμύθου εὑρὼν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ προσεκύνησεν αὐτῷ* (Α' Βασ. 28, 1 - 14). *Εἰ γὰρ ἐναντίον Κυρίου ὁ τῶν ὁσίων αὐτοῦ θάνατος τίμιος δείκνυται, πῶς οὐ δεινὸν καὶ ἐκτόπως ἄτοπον μὴ καὶ τοῖς ἀνθρώποις τιμᾶσθαι τελευτὰς ὁσίας;*

*Ἔχει τε γὰρ παρὰ ταῦτα τὸ τοιοῦτον τῆς πρὸς τὸν κοινὸν ἡμῶν δεσπότην* f. 204α *εὐνοίας ἀπόδειξιν ὥς που φιλοσόφων ὁ ἱερο | φάντης ἀπεφήνατο Βασίλειος, ἅμα τε πρὸς ἀρετὴν πέφυκε διεγείρειν· οὐδὲν γὰρ οὕτω τοῖς καλοῖς ἢ παροῦσιν ἐπίδοσιν ἢ ἀποῦσι πρόκλησιν ἀπεργάζεσθαι εἴωθεν, ὡς τὸ τῶν ἐπαίνων χρῆμα· καὶ ταῦτα τῶν καθ' ἡμᾶς ἱερῶν ὕμνων, δι' ὧν τοὺς ἀγῶνας τῶν δικαίων ἀνδρῶν τιμῶντες τῷ Θεῷ εὐχαριστίας ἀπονέμομεν, ἐξ οὗ πᾶσα ἀρετὴ τοῖς ἀνθρώποις χορηγεῖται, καί γε καὶ χρέος ἐποφειλέστατον τοῦτ' αὐτὸ τῷ θεολόγῳ Γρηγορίῳ νενόμισται. Τοῖς γὰρ τοῦ Λόγου γνησίοις θεραπευταῖς τί ἂν καὶ μᾶλλον ἐποφείλεσθαι δόξειε παρὰ τὸν λόγον αὐτόν ; Καὶ πρὸς τούτοις πόσην ἐκ τούτου τὴν ὄνησιν ἡ τῶν πιστῶν καρποῦται ὁμήγυρις, οὐκ ἄν τις ἐκφράσαι ἱκανῶς δυνήσαιτο. Μεσίτας γὰρ αὐτοὺς πρὸς τὸν μόνον εἰρηνάρχην καὶ ἀρχιμεσίτην προβάλλοντες, πᾶν ὃ ἐὰν αἰτώμεθα ἐν τῷ ὀνόματι τοῦ Κυρίου, δι' αὐτῶν λαμβάνομεν, τάς τε τοῦ βίου ἐπηρείας καὶ τὰς καθ' ἡμῶν δικαίας τοῦ Θεοῦ ἀπειλὰς ἐκκλίνομεν. Ἔνθεν τοι καὶ τὸ τῆς ἐκλογῆς σκεῦος Ῥωμαίοις τε καὶ Ἐφεσίοις καὶ πᾶσι σχεδόν, πρὸς οὓς ἐπιστέλλων ἀρχέτυπον εὐσεβείας ἐγνωρίζετο, καὶ παρακλήσει ἐντέλλεται συναγωνίσασθαι οἱ ἐν ταῖς προσευχαῖς ὑπὲρ αὐτοῦ πρὸς τὸν Θεόν, δι' ἃ ποιῆσαι προετίθετο, καὶ ἐκτενὴς προσευχὴ ἐγίγνετο ὑπὸ τῆς Ἐκκλησίας ὑπὲρ τοῦ πρῶτον τὸν τῆς Ἐκκλησίας καταβαλόντος θεμέλιον Πέτρου, οἰκοῦντος τὸ δεσμωτήριον, καὶ οἱ υἱοὶ Ἰσραὴλ τὰς τοῦ Σαμουὴλ πρὸς Θεὸν ἐντεύξεις προβαλλόμενοι ἐκ χειρὸς ἀλλοφύλων σωθῆναι ἤλπιζον. Καὶ τί δεῖ πλειόνων, αὐτοῦ τοῦ Κυρίου ἀκούουσι λέγοντος πρὸς τοὺς τοῦ Ἰὼβ φίλους, λαβόντας θύματα πρὸς τὸν θεράποντα αὐτοῦ Ἰὼβ πορευθῆναι, ἵνα ὑπὲρ αὐτῶν τὴν ὁλοκάρπωσιν ποιήσηται καὶ προσεύξηται αὐτὸς ὑπὲρ αὐτῶν, ὡς ἀπολέσας ἂν αὐτοὺς μὴ τοῦ Ἰὼβ μεσιτεύσαντος, ὑποσχεθέντος τε τῷ Ἀβραὰμ τὴν ἐπανατεινομένην τοῖς Σοδόμοις ἀνήσειν μάστιγα εἰ δέκα μόνους δικαίους ἄνδρας ἐκεῖσε εὑρήσειε ; Ἀπείρων τε οὐ μόνον κινδύνων ἐρρύσθησαν, ἀλλὰ καὶ χαρισμάτων οἱ ἐξ Ἰσραὴλ ἀπήλαυσαν διὰ Ἀβραὰμ τὸν τῷ Θεῷ ἠγαπημένον καὶ Ἰσαὰκ τὸν δοῦλον αὐτοῦ καὶ Ἰσραὴλ τὸν ἅγιον αὐτοῦ, καὶ διὰ Δαβὶδ τὸν αὐτῷ εὐαρεστήσαντα, οὐχ ἧττον τῶν ἐκείνοις κατορθουμένων ἢ τῆς πρὸς αὐτοὺς ἐπαγγελίας μεμνημένου τοῦ Κυρίου. Καί τοι γὰρ ἐνθένδε ἀπηλλάγησαν, ἀλλά γε τῷ Θεῷ ζῶσιν εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ἦ φασι τὰ λόγια· καθὸ καὶ ὁ Θεὸς Θεὸς τῶν πατέρων ἀκούει, οὐχ ὡς νεκροῦ ἀλλ' ὡς ζώντων Θεὸς ὢν καὶ καλούμενος. Διό, καίτοι νεκροὶ τοῖς σώμασιν, ὡς ζῶντες πάντως ἐνεργοῦσιν, καθὰ καὶ ὁ τοῦ Ἐλισσαίου νεκρὸς ἐν τοῖς*



*ξηροῖς ὀστέοις, οὗ ἥψατο. Αἵ τε τούτων καρτερίαι καὶ τὰ κατορθώματα παρὰ τῷ Θεῷ οὐ γεγηράκασι, παρ' ᾧ τό τε παρεληλυθὸς καὶ τὸ μέλλον ἐνέστηκεν, ἀλλὰ νεοθαλῆ, ὡς ἐλαιῶν θάλλουσι νεόφυτα, οὐ μόνον αὐτοῖς τὸν τῆς δικαιοσύνης ἀπαιτοῦντα στέφανον, ὃν ἀποδώσει ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, ἀλλὰ καὶ ἡμῖν τοῖς ταῦτα ἀνθ' ἱκετηρίας προβαλλομένοις ἱλασμὸν καὶ ἁμαρτημάτων ἄφεσιν, ὡς ἄλλον τρόπον τὸ τοῦ Ἄβελ αἷμα κατὰ τοῦ ἐκχέαντος ἄμυναν.*

*Ταύτης οὖν καὶ ἡμεῖς τῆς ὠφελείας μὴ ἀπολειφθῆναι σπουδάζοντες καὶ τοῖς τῶν πρὸ ἡμῶν πατέρων ἕπεσθαι ὡς οἷόν τε προθυμούμενοι ἴχνεσιν, ἐπειδὴ καὶ καθ' ἡμᾶς ἐν τῇ εὐνομουμένῃ τῶν πόλεων Κρήτῃ ὁ ὅσιος Ἰωάννης ὁ Ἐρημίτης ἀσκήσει διέλαμψε καὶ οἱ συνασκηταὶ αὐτοῦ ἐνενήκοντα ὀκτὼ τὸν ἀριθμὸν τὸν ἴσον ζῆλον καὶ πολιτείαν ὁμοῦ συνεφιλοσόφησαν, ὧν ὁ Κύριος τὸν βίον ὑπὲρ πᾶσαν δεξάμενος ὁλοκάρπωσιν θαύμασιν ἐξαισίοις ἐδόξασε, κρήνην τινὰ ἄφθονον ἢ ποταμὸν εἰπεῖν ἀέροον τῶν δωρεῶν τὸν ἐκείνων ἀναδείξας σηκόν, καὶ διασῴζων ἑκάστοτε κατά τε γῆν καὶ θάλασσαν τοὺς δι' αὐτῶν τὰς αἰτήσεις ποιουμένους, ἐκ πίστεως συνηγμένοι ἐν ἁγίῳ Πνεύματι πάντες οἱ εὑρεθέντες ἀρχιερεῖς καὶ ἐπικαλεσάμενοι τὸν μεθ' ἡμῶν εἶναι πάσας τὰς ἡμέρας τοῦ αἰῶνος ἐπαγγειλάμενον, ἀποφαινόμεθα ἑορταῖς ἐτησίοις καὶ ἱεροῖς* f. 204β *ὕμνοις τούτους πανηγυρίζεσθαι καὶ ταῖς | τῶν λοιπῶν ὁσίων ἀγέλαις συναριθμεῖσθαι ἔν τε τῇ περιφήμῳ νήσῳ τῆς Κρήτης, ἣν καὶ ἱερὰν παλαίστραν ἐστήσαντο, καὶ ἐν ταῖς κατὰ πᾶσαν τὴν Οἰκουμένην ἁγίαις Ἐκκλησίαις. Δεινὸν γὰρ καὶ ἐπιεικῶς ἄτοπον, τὸν μὲν Θεὸν αὐτοὺς ὡς ἁγίους θαυμαστῶσαι ἁπάντων ἐνώπιον, ἡμᾶς δὲ τῆς τούτων μὴ καταπολαύειν τιμῆς, ἀλλὰ καὶ ζημιοῦσθαι τὴν ἀπὸ ταύτης ὠφέλειαν, τοιούτων μάλιστα προστατῶν δεομένους. Πάντες οὖν ἀναμφιβόλως καὶ μετὰ θερμῆς τῆς πίστεως τοὺς ἄνδρας ταῖς κατ' ἔτος πανηγύρεσι τιμῶντες, μιμεῖσθε τὴν εὐσέβειαν, καὶ πρὸς τὸν Κύριον μεσίτας προβαλλόμενοι, ἀντιλαμβάνοιτε τὰ πρὸς σωτηρίων αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον· ἧς καὶ ἡμεῖς ἐπιτύχοιμεν διά τε τῶν θεοπειθῶν εὐχῶν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἐρημίτου καὶ τῶν συνεκλαμψάντων αὐτῷ λοιπῶν ὁσίων ἀνδρῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.* ⟨,αχλβ' Ἀπριλίου κθ' (29 Ἀπριλίου 1632)⟩.

† *Ὁ Καισαρείας* Ἐ π ι φ ά ν ι ο ς

† *Ὁ Λαρίσσης* Γ ρ η γ ό ρ ι ο ς

† *Ὁ Φιλίππων καὶ Δράμας* Ἀ β έ ρ κ ι ο ς

† *Ὁ Νικομηδείας* Ν ε ό φ υ τ ο ς

† *Ὁ Ἐφέσου* Μ ε λ έ τ ι ο ς ⟨Παντόγαλος, Κρής⟩

† *Ὁ Σερρῶν* Δ ι ο ν ύ σ ι ο ς

† *Ὁ Ἀγκύρας* Λ α υ ρ έ ν τ ι ο ς

† *Ὁ Γάννου καὶ Χώρας* Ἰ ω α ν ν ί κ ι ο ς

† Ὁ Ξάνθης Σ α μ ο υ ή λ
† Ὁ Χαλκηδόνος Νεκτάριος (Νεῖλος, ζωγράφος, ὁ ἀπὸ Τζιᾶς καὶ Θερμίων Κρής)
† Ὁ Βερροίας Κ ύ ρ ι λ λ ο ς ⟨Κονταρῆς⟩
† Ὁ Κυζίκου Π α ρ θ έ ν ι ο ς
† Ὁ Αἴνου Π α ρ θ έ ν ι ο ς
† Ὁ Μεσημβρίας Ἀ κ ά κ ι ο ς
† Ὁ Ῥαιδεστοῦ καὶ Πανίου Θ ε ο φ ά ν η ς
† Ὁ Σηλυμβρίας Π α ρ θ έ ν ι ο ς
† Ὁ Ἐλασσῶνος Ἰ ω ά σ α φ
† Ὁ Θεσσαλονίκης Ἀθανάσιος ⟨Πατελλάρος, Κρής⟩
† Ὁ Βιζύης Δ α μ α σ κ η ν ὸ ς
† Ὁ Ἀδριανουπόλεως Π α ρ θ έ ν ι ο ς
† Ὁ Νέων Πατρῶν Ν ε ό φ υ τ ο ς

2 ⟨Τὸ κείμενον τῶν ἐντύπων⟩

*Ταύτης οὖν καὶ ἡμεῖς ὠφελείας μὴ ἀπολειφθῆναι σπουδάζοντες τοῖς πρὸ ἡμῶν Πατέρων ἕπεσθαι, ὡς οἷον τε προθυμούμεθα ἴχνεσιν.*

*Ἐπειδὴ π ο λ λ ῷ πρότερον ἢ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ἐν τῇ εὐνομουμένῃ τῶν π ό λ ε ω ν Κρήτῃ, ὁ ὅσιος Ἰωάννης ὁ Ἐρημίτης ἀσκήσει διέλαμψε καὶ οἱ συνασκηταὶ αὐτοῦ ἐνενήκοντα ὀκτὼ τὸν ἀριθμόν, τὸν ἴσον ζῆλον καὶ πολιτείαν ὁμοῦ συνεφώνησαν, ὧν ὁ Κύριος τὸν βίον, ὑπὲρ πᾶσαν δεξάμενος ὁλοκάρπωσιν, θαύμασιν ἐξαισίοις ἐδόξασε, κρήνην τινὰ ἄφθονον ἢ ποταμὸν εἰπεῖν ἀείροον, τῶν δωρεῶν τὸν ἐκείνων ἀναδείξας σηκόν, καὶ διασῴζων ἑκάστοτε κατά τε γῆν καὶ θάλατταν τοὺς δι' αὐτῶν τὰς αἰτήσεις ποιουμένους ἐκ πίστεως· συνηγμένοι ἐν Ἁγίῳ Πνεύματι πάντες οἱ παρευρεθέντες ἀρχιερεῖς, καὶ ἐπικαλεσάμενοι τὸν μεθ' ἡμῶν εἶναι πάσας τὰς ἡμέρας ἐπαγγειλάμενον, ἀποφαινόμεθα ἑορταῖς ἐτησίοις καὶ ἱεροῖς ὕμνοις τούτους πανηγυρίζεσθαι, καὶ ταῖς τῶν λοιπῶν ὁσίων ἀγέλαις συναριθμεῖσθαι ἔν τε τῇ περιφήμῳ νήσῳ τῆς Κρήτης, ἣν καὶ ἱερὰν παλαίστραν ἐστήσαντο, καὶ ἐν ταῖς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίαις ἐκκλησίαις. Δεινὸν γὰρ καὶ ἐπιεικῶς ἄτοπον, τὸν μὲν Θεὸν αὐτοὺς ὡς ἁγίους θαυμαστῶσαι πάντων ἐνώπιον, ἡμῶν δὲ τῆς τούτων μὴ καταπολαύειν τιμῆς, ἀλλὰ ζημιοῦσθαι τὴν ἀπὸ ταύτης ὠφέλειαν, τούτων μάλιστα προστατῶν δεομένους. Πάντες οὖν ἀναμφιβόλως καὶ μετὰ θερμῆς τῆς πίστεως τοὺς ἄνδρας ταῖς κατ' ἔτος πανηγύρεσι τιμῶντες, μιμεῖσθε τὴν εὐσέβειαν καί, πρὸς τὸν Κύριον μεσίτας προβαλλόμενοι καὶ ἀντιλαμβάνοντας τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον, ἧς καὶ ἡμεῖς ἐπιτύχοιμεν διά τε τῶν θεοπειθῶν εὐχῶν τοῦδε τοῦ ἁγίου καὶ τῶν σὺν αὐτῷ συνεκλαμψάντων ὁσίων ἀνδρῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.*

⟨Ἕπονται αἱ ὑπογραφαὶ τῶν ἀρχιερέων, αἱ ἐλλείπουσαι ἀπὸ τὸν Ἰβηρ. κώδ.⟩



## ΙΙ. Ο ΧΟΡΗΓΟΣ ΠΡΟΣ ΕΚΔΟΣΙΝ (1782) ΙΩΑΣΑΦ ΚΑΠΕΤΑΝΑΚΗΣ ΓΑΒΑΛΑΣ

προηγούμενος τῆς ἱ. μονῆς Γδερνέττου

Ὁ ἐν Γ «τοῖς ἐντευξομένοις Ὀρθοδόξοις Χριστιανοῖς» ἀπευθυνόμενος εἰς τὴν ἔκδοσιν τοῦ 1787 ἐξηγῶν διατί, λόγῳ παλαιότητος τοῦ τυχὸν εὑρισκομένου χειρογράφου, «πάλιν προτεθύμημαι (sic) ἵνα καὶ αὖθις ἐκδοθῶσιν εἰς τύπον, οἰκείαις δαπάναις» ἡ Ἀκολουθία, μετὰ τοῦ Συναξαρίου, οἷς προσετέθη καὶ τὸ Σιγίλλιον τῆς Μ. Ἐκκλησίας, ὑπογράφεται ὡς προηγούμενος Ἰωάσαφ, δαπανήσας ἐξ ἰδίων, ὡς καὶ ἐν τῇ ἐπιγραφῇ τῆς Ἀκολουθίας, ὅπου λέγεται: «τουπίκλην Καπετανάκη(ς) Γαβαλᾶ(ς)».

Ἐπὶ τοῦ παρόντος οὐδὲν ἄλλο γνωρίζω περὶ αὐτοῦ εἰμὴ ὅτι ὁ Ἰωάσαφ Καπετανάκης προηγούμενος τοῦ Γουβερνέττου (ἄνευ τοῦ ἐπιθέτου Γαβαλᾶς) ὑπογράφεται μαρτυρῶν καὶ βεβαιῶν ὑπογραφάς τινας «ἐν Σμύρνῃ Ἰουνίου κγ' ,αψπς' ἔτει» (23 - 6 - 1786)[1]. Ὄντως ἡ μονή του εἶχε συμφέροντα ἐν τῇ πρωτευούσῃ τῆς Ἰωνίας.

## ΙΙΙ. Ο ΙΩΑΝΝΗΣ ΕΡΗΜΙΤΗΣ

(Τιμὴ καὶ παράστασις αὐτοῦ)

α') Τιμώμενος διὰ ναοῦ ἤδη τὸ 1462!

Ναὸς τοῦ ἁγίου Ἰωάννου τοῦ Ἐρημίτου προϋπῆρχε τοῦ 16ου αἰῶνος, εἰς ὃν ἀρχαιολόγος ἐπιτόπιος μεσοῦντα ἐτοποθέτησε τοῦ ἁγίου τὸ τέλος. Εἰς κτιτορικὴν ἐπιγραφὴν ἀπὸ 20 Ἰουλίου 1462 τοῦ ναοῦ τοῦ ἁγίου εἰς Ἀπάνω Φλώρια Σελίνου ἀναγινώσκεται, ἔτους ,ςπο' μηνὶ *Ἰουλίῳ εἰς τὰς Κ'. Ἀνηγέρθη ἐκ βάθρων γῆς καὶ εἰκονογραφήθη ὁ θεῖος καὶ πάνσεπτος ναὸς οὗτος τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἐρημίτου*. . .[2].

Ὅτι παλαιόθεν ὑπῆρχε καὶ χωρίον Ἅγιος Κὺρ Γιάννης βλέπει τις ἐκ τῆς Στατιστικῆς Κρήτης τοῦ 1880, Πίναξ 19: Δῆμος Καστελλίου, ἀρ. 163, κάτοικοι 80 + 76 = 156[3]. Τὸν ἐν τῷ χωρίῳ ναὸν τοῦ Ἁγίου Παντελεήμονος, κατάγραφον εὑρίσκει τις εἰς θέσιν Ἀληζιζιανά[4].

---

1. Σμυρναϊκὰ Ἀνάλεκτα. Mélanges Smyrnées ὑπὸ Ν. Κ. Χ. Κ ω σ τ ῆ, ἔκδοσις β', τεῦχος Α', ἐν Ἀθήναις 1966, (8°, σσ. 112), ἐν σ. 89 καὶ ἐν σ. 90.
2. Μ α ρ ί α ς Β α σ ι λ ά κ η - Μ α υ ρ α κ ά κ η, Ὁ ζωγράφος Ξένος Διγενὴς καὶ ἡ ἐκκλησία τῶν Ἁ γ ί ω ν Π α τ έ ρ ω ν στὰ Ἀπάνω Φλώρια Σελίνου τῆς Κρήτης, «Πεπραγμένα Δ' Διεθνοῦς Κρητολογικοῦ Συνεδρίου (1976)» τόμος Β', Ἀθήνα 1981, σσ. 550 - 570 καὶ Πίνακες 142 - 157. Ἡ κτιτορικὴ ἐπιγραφὴ ἐν σ. 556.
3. Ν ι κ. Σ τ α υ ρ ά κ η, Στατιστικὴ τοῦ πληθυσμοῦ τῆς Κρήτης, Ἀθήνησι 1890 (τὰ δεδομένα αὐτῆς τοῦ ἔτους 1880).
4. Κ. Λ α σ σ ι θ ι ω τ ά κ η ς, Κρητ. Χρον. 24, 1969, σσ. 157 - 159. Κατάλογος 15, σχέδιον 6, εἰκόνες 14 - 17.

β') Ἡ παράστασίς του.

Οὐδέποτε παρίσταται 1) μετὰ τῶν 98 Πατέρων, ἀλλὰ πάντοτε μόνος, 2) ὡς ζῷον τετραποδίζον ἢ ρακένδυτος, ἀλλ' εὐπρεπῶς ἐνδεδυμένος τὴν τοῦ μεγαλοσχήμου στολήν.

Ἡ ἀρχαιοτέρα παράστασις[1] εἶναι τοῦ 1328/29 εἰς ναὸν τῆς συνοικίας Σκουδιανὰ (Τραχινιάκος) Καντάνου Σελίνου, ὅπου παρίσταται πλησίον μὲν τοῦ ἁγίου Ὀνουφρίου, εἰς ναὸν δ' ὅπου καὶ παράστασις Ρωμανοῦ τοῦ Μελῳδοῦ (Κατάλογος 154, Σχέδιον 72, εἰκόνες 276 - 288, Πίναξ ΞΗ' καὶ σ. 203)[2].

Εἰ δὲ τὸ Ἐρημίτης σημαίνει τὸν Ξένον, εἰ καὶ τὸν κατόπιν ἐκ Γαύδου ἐλθόντα Ἐρημίτην, οὓς δύο θεωρῶ ἔτι ἕνα ὄντα, πάντως ὁ Γδερνέττου Ἅγιος δὲν εἶναι τοῦ 16ου αἰῶνος, ἀφοῦ ἐτιμᾶτο ἤδη εἰκονογραφούμενος τὸ 1328!

## IV. Ο ΦΟΝΟΣ ΤΟΥ ΙΩ. ΕΡΗΜΙΤΟΥ ΔΙΑ ΤΟΞΟΥ

Τόσον τὸ Συναξάριον τοῦ εἰς Γδερνέττο τιμωμένου Ἁγίου, ὅσον καὶ ἡ σχετικὴ Ὑμνολογία φέρει αὐτὸν τοξευθέντα ὑπὸ βοσκοῦ ἢ κυνηγοῦ, ἢ κατὰ τὸν Βενέδικτον Τζαγκαρόλον «τοξευόμενον χερσὶν ἀγροικητικαῖς».

Ἡ χρῆσις τοῦ τόξου δεικνύει ἀρχαϊκωτέραν ἐποχὴν ἢ ἐγγυτέραν πρὸς τὸ 1600.

Σημειῶ ὅτι περὶ τὸ 1525 ἐνεφανίσθη τὸ μοσκέττο (moschetto), τοῦ ὁποίου χρῆσιν εὑρίσκω καὶ τὸ 1630 ἐν Κρήτῃ. Ἦτο εἶδος ἀρτσιβούζιο (archibugio) βαρέος, τὸ ὁποῖον κατ' ἀρχὰς μὲν ἦτο εἰδικῶς τοποθετημένον, ἀργότερον δὲ κατέστη χειροκίνητον, κρατούμενον δηλαδὴ ὑπὸ ἀνδρὸς πυροβολητοῦ.

## V. ΗΤΟ ΕΡΗΜΟΠΟΛΙΤΗΣ;

Ὑμνογραφικῶς ὁ Ἅγιος ἀποκαλεῖται ἐρημοπολίτης. Τῆς Κρήτης μὴ διαθετούσης ἐρήμους, ἀκατοικήτους ὡς ἐν Παλαιστίνῃ ἢ Νιτρίᾳ ἢ Συρίᾳ, ὑπὸ τὸν ὅρον ἔρημος ἐννοεῖται ἡ μακρὰν κατῳκημένου χώρου εἰς ἀσκητήριον παραμονὴ μοναχοῦ τινος.

Ἐπ' οὐδενὶ δύναται νὰ συσχετισθῇ ὁ ὅρος πρὸς τὸν ἀρχαῖον κόλπον τῆς Ἐρημουπόλεως πρὸς Β. τοῦ ἀκρωτηρίου Πλάκας, παρὰ τὸ ὁποῖον ἔκειτο ἡ κρητικὴ πόλις Ἴτανος. Τὸ ἀκρωτήριον Πλάκα (Σαλμώνη), Σολομὼν ὑπὸ τῶν ναυτικῶν ὀνομαζόμενον, εἶναι τὸ ἀνατολικώτατον σημεῖον τῆς μεγαλονήσου Κρήτης.

1. G. Gerola, Monumenti Veneti nell'isola di Creta, IV, σ. 458, κατεστραμμένη σήμερον.
2. Βλ. Λασσιθιωτάκην, Κρητ. Χρον. 22, 1970, σ. 204.



## VI. ΤΟ ΠΑ'ΛΛΙΟΝ Ἢ ΠΑΛΛΙ'ΟΝ

«Χαίροις, ἀνεβόα τῶν Πατέρων πληθύς, ἐπὶ νώτοις τῆς θαλάσσης ὡς εἶδέ σε τῷ παλ(λ)ίῳ προερχόμενον τῇ γῇ» (Βενέδ. Τζανκαρόλος). Pallium εἶναι τὸ ράσον τοῦ μοναχοῦ. Εἰς τὸ Εὐχολόγιον: «ὁ ἀδελφὸς λαμβάνει τὸ παλλίον ἀρραβῶνα... τοῦ ἀγγελικοῦ σχήματος» (Lampe, Lexicon, σ. 999).

## VII. ΧΡΟΝΟΣ ΠΙΘΑΝΗΣ ΖΩΗΣ ΤΩΝ 99 ΑΣΚΗΤΩΝ καὶ καταγωγὴ αὐτῶν

Κατὰ τὴν γνώμην μου, εὑρισκόμεθα πρὸ εὐσεβοῦς διηγήσεως, ἡ ὁποία δὲν ἔχει ἱστορικὴν ἀνταπόκρισιν. Ὁ καθαγιασμὸς τοῦ 1632 ὁμιλεῖ ὅτι οἱ ὅσιοι (καὶ ὁ Ἰωάννης ὁ Ἐρημίτης) ἔζησαν πολλῷ πρότερον ἢ εἰς τοὺς καθ' ἡμᾶς χρόνους, δηλαδὴ τοὺς χρόνους καθ' οὓς ἔζη ὁ Κ. Λούκαρις καὶ οἱ λοιποὶ Συνοδικοί. Τοῦτο, μολονότι ὅλως ἀόριστον, σημαίνει ὅτι οὔτε ἡ Σύνοδος ἠδύνατο νὰ προσδιορίσῃ τὸν χρόνον. Ἐκ τῶν νεωτέρων μελετητῶν ὁ μὲν Ἐμμ. Γ. Γενεράλις θέτει τούτους εἰς τὸν 10ον - 11ον αἰῶνα, παραβλέπων ὅτι Αἰγύπτιοι τότε ἀκριβῶς θὰ ἦσαν ἀπαράδεκτοι εἰς Κρήτην, λόγῳ τῆς προσφάτου ἐκδιώξεως ἐξ αὐτῆς τῶν Ἀράβων (961). Ὁ δὲ Στέργιος Σπανάκης περὶ τὸ 1300, εἰς ἐποχὴν δηλονότι γνωστὴν ἐκ τῶν ἐνετικῶν ἀρχείων, σιωπώντων περὶ τούτου. Τελευταίως προσδιωρίσθη ὁ χρόνος περὶ τὸ 1500, ἀλλὰ τοῦτο εἶναι ὅλως αὐθαίρετον, καὶ ἐκ τοῦ ἁπλοῦ γεγονότος ὅτι ἐτιμᾶτο ὡς ἅγιος ὁ Ἰω. Ἐρημίτης δύο αἰῶνας πρότερον (βλ. περαιτέρω).

Θὰ ὑπῆρχε προσέγγισις τῆς λύσεως ἂν ἠδυνάμεθα νὰ γνωρίζωμεν ἀσφαλῶς ποῖος εἶναι ὁ ἀρχαιότερος ὑμνογράφος ὁ γράψας περὶ τῶν 99 Πατέρων ἢ τοῦ Ἰω. Ἐρημίτου. Μᾶλλον ὅμως κατερχόμεθα πρὸς τοὺς περὶ τὸ 1600 χρόνους. Ἐπαναφέρω ἐδῶ ὅσα ἔγραψα εἰς τὴν Κρητολογίαν 10, 1980, σσ. 12 - 13, πραγματευόμενος τὰ περὶ Βενεδίκτου Τζανκαρόλου καὶ τῶν ὑπ' αὐτοῦ γραφέντων Μακαρισταρίων διὰ τὸν Ἰω. Ἐρημίτην:

«Ἀξιοσημείωτον εἶναι ὅτι ὁ Βενέδικτος δὲν ἀναφέρει εἰς τὰ Μακαριστάριά του τὸν Ἰωάννην ἢ τοὺς σὺν αὐτῷ κοιμηθέντας 98 Πατέρας ὡς ἀλλοεθνεῖς ἢ Αἰγύπτιον τοῦτον καὶ τὴν πλειονότητα τῶν (36) Πατέρων. Οὐδὲ ἐθνικότητα τοῦ Ἁγίου προσδιορίζει, θεωρῶν αὐτὸν ἁπλῶς λαμπτῆρα τῆς Κρήτης καὶ φρουρόν. Ἀλλ' Αἰγύπτιον ὄχι.

Θὰ ἠπόρει δέ τις πῶς παρεισέφρησεν ἡ μυθώδης προέλευσις τῶν 36 ἀσκητῶν καὶ τοῦ ὁσίου Ἰωάννου ἐξ Αἰγύπτου. Ἐὰν οὗτοι ἦσαν Αἰγύπτιοι καὶ ἤθελον νὰ ἀσκηθοῦν, ἡ Νιτρία καὶ ἡ ἔρημος, τὸ Σινᾶ ἀκόμη, ἦσαν πλησιέστερα τῆς μὴ ἀνίκμου Γαύδου ἢ τῆς ὀρεινῆς Κρήτης, καὶ δὲν θὰ ἐξελέγοντο αἱ ἤπιαι τοποθεσίαι τοῦ Σελίνου ἢ τοῦ Ἀκρωτηρίου Μελέχα τῆς Κυδωνίας.

Πρόκειται λοιπὸν περὶ συγχύσεως, ἀλλὰ ποίας; Διότι πράγματι ὑπῆρξεν ὅσιος Ἰωάννης Αἰγύπτιος λόγιος καὶ ὑπῆρχον ἀσκηταὶ 36 Αἰγύπτιοι Πατέρες μαρτυρήσαντες ἐπὶ Δεκίου τὸν 3ον αἰῶνα καὶ γνωστοὶ ἐκ τοῦ ἑορτολογίου, ὅλως δ' ἄσχετοι πρὸς τὴν Κρήτην εἰς τὴν ὁποίαν δὲν ἦλθον ποτέ. Ἡ μνήμη των τίθεται τὴν 28ην Ὀκτωβρίου (ἐπαναλαμβάνεται τὴν 10ην Ἀπριλίου)[1]. Καὶ ὁ ἀριθμός των ποικίλλει ἐκτεινόμενος καὶ πέρα τῶν 36. Θὰ εἴπῃ τις πῶς συνεδυάσθη τὸ πρᾶγμα. Θ' ἀντείπω ὅτι καὶ ὁ Ἅγιος Γεώργιος (23 Ἀπριλίου) οὔτε Κρὴς εἶναι διὰ νὰ ἔχῃ τόσας μονὰς καὶ ναοὺς ἐν Κρήτῃ, οὔτε Αἰγύπτιος, διὰ νὰ ἔχῃ τὸ μέγα προσκύνημα-μονὴν τοῦ Καΐρου. Ἑκατοντάδες ἅγιοι ἄσχετοι πρὸς τὴν Κρήτην (καὶ ἔσχατος ὁ Νεκτάριος Πενταπόλεως) ἐτιμήθησαν διὰ ὀλίγων ἢ πολλῶν ναῶν, ἐνῶ Κρῆτες ἅγιοι, ὁ Τίτος, ὁ Εὐμένιος, ὁ Μύρων, ὁ Γρηγόριος ὁ ἐν Ἀκρίτᾳ π.χ., ἐλάχιστα ἐτιμήθησαν ἐν Κρήτῃ ἢ τὸ παράπαν.

Ἑπομένως εἰς ἄγνωστον χρόνον (Ἀραβοκρατίαν ἢ καὶ πρὸ ταύτης) συνεδυάσθη ἡ ἄσκησις καὶ τὸ μαρτύριον Ἰωάννου καὶ τῶν 36 συνΑἰγυπτίων πρὸς λατρείαν ἐν Κρήτῃ, φυσικὸν δ' ἦτο οὗτοι νὰ λατρευθοῦν οὐχὶ εἰς πόλεις ἀλλ' εἰς σπήλαια! Εἶναι δὲ πασίγνωστον πῶς τὰ ἱερὰ τῆς ἀρχαιότητος σπήλαια καὶ αἱ κοιλότητες τῶν βουνῶν ἐξηκολούθησαν καὶ κατὰ τὴν Χριστιανικὴν περίοδον νὰ εἶναι λατρευτικοὶ χῶροι καὶ ἐν αὐτοῖς νὰ διασκευασθοῦν ναΐσκοι καὶ ἱερά.

Ὅτε δὲ ὅλως ἐλησμονήθη ἡ ἑορτὴ τῶν Αἰγυπτίων τούτων ἀσκητῶν, συνεδυάσθη ὑπὸ ἀμαθῶν καλογήρων πρὸς τὸν Ἰωάννην τὸν Ξένον καὶ Ἐρημίτην ἀσκήσαντα ἀνὰ τὰ ὄρη καὶ τοὺς αἰγιαλοὺς τῆς Κρήτης ἀρχομένου τοῦ ια' αἰῶνος. Ἐπειδὴ δὲ ἡ φαντασία ἔπρεπε νὰ εὕρῃ καὶ τὸν δρόμον δι' οὗ ὁ Ἰωάννης ὁ Αἰγύπτιος Ἐρημίτης ἦλθεν εἰς Κρήτην, ἐξελέγη ἡ Γαῦδος, ὡς κατέναντι τῆς Ἀφρικῆς κειμένη καὶ ὁρμητήριον τῶν ἐκεῖθεν ἐρχομένων πρὸς τὰ Νότια παράλια τῆς Κρήτης. Δοθέντος δ' ὅτι περὶ τὰ σπήλαια τοῦ Ἀζωγυρέα ἠσκοῦντο ἐρημῖται Πατέρες, συνεδυάσθησαν καὶ οὗτοι πρὸς τοὺς αἰγυπτιόθεν ἐλθόντας. Καὶ τούτων πλειόνων ἢ 36 εὑρεθέντων ἐκ τῶν λειψάνων—τάφων των, προσετέθησαν εἰς αὐτοὺς καὶ ἄλλοι ἐλθόντες ἐξ Ἀτταλείας καὶ Κύπρου, φεύγοντες πιθανώτατα τὴν ἐκεῖ παρουσίαν Μουσουλμάνων καὶ Ἀράβων. Τοῦτο δ' ἦτο καὶ ἀληθοφανέστερον, δοθείσης τῆς ἐκκλησιαστικῆς σχέσεως καὶ τῆς κοινῆς ἢ παραλλήλου σχέσεως τῆς Κρήτης μετὰ τῆς Κύπρου, εἰς τρόπον ὥστε καὶ Κρῆτες ἀρχιερεῖς νὰ διοικοῦν τὴν Κύπρον ἐκκλησιαστικῶς καὶ Κύπριος μοναχός, ὁ Βλάσιος, νὰ κτίζῃ τὴν μονὴν Γωνιᾶς!

Ὅτι δ' ὁ ἀριθμὸς 99 εἶναι ἱερός, προστιθεμένου τοῦ Χριστοῦ, ἀπαρτίζων

1. Σωφρ. Εὐστρατιάδου, Ἁγιολόγιον, σ. 318. H. Delehaye, SEC, 1902, στ. 169 - 170, 595 - 596.



ἑκατοντάδα, ἢ δηλωτικὸς ἁπλῶς πλήθους, εὐνόητον. Καὶ ὅτι διὰ τοῦ συνδυασμοῦ τούτου ἐτιμήθησαν πολυάριθμοι (πάντως οὐχὶ 98) μοναχοί, οὓς ὁ Ἰωάννης ὁ Ξένος καὶ Ἐρημίτης, κατέστησεν εἰς τὰς ἀνὰ τὴν Δυτικὴν ἰδίᾳ Κρήτην ἱδρυθείσας ὑπ' αὐτοῦ μονάς.

Ἑπομένως ὁ ὅσιος Ἰωάννης διὰ τὸν Βενέδικτον Τζανκαρόλον εἶναι ἐντόπιος ὡς πρὸς τὸν θάνατον, τὸν φόνον του μᾶλλον, ὑπὸ Κυδωνιάτου βοσκοῦ. Ἄλλωστε δὲν ὑπῆρχε βεβαιότης ποῦ ἐκοιμήθη ὁ Ἰωάννης ὁ Ξένος καὶ Ἐρημίτης, αἱ δὲ περὶ τῆς Ἀκτῆς Κισάμου ὡς περὶ τόπου εἰς ὃν παρέδωκε τὸ πνεῦμα παραδόσεις, ὡς καὶ ἡ περὶ τῆς ἐκεῖ κάρας κλπ. εἶναι μεταγενέστεραι. Ὁ ἐκ Σίβα ἅγιος συνέταξε τὴν διαθήκην του εἰς τὸν τόπον ὅπου εὑρίσκοντο οἱ ἄρχοντες τῆς Κρήτης, οἱ ὁποῖοι τὴν ἐβεβαίωσαν, προφανῶς εἰς Γόρτυνα. Καὶ αὐτοὶ δὲν ἠδύναντο νὰ εὑρεθοῦν οὔτε εἰς τὴν Ἀκτήν, οὔτε εἰς τὸ Γδερνέττον, οὔτε ἀλλαχοῦ, πλὴν τῆς κεντρῴας Κρήτης».

## VIII. Ο ΑΓΙΟΣ ΙΩΑΝΝΗΣ ΕΡΗΜΙΤΗΣ ΕΚΛΑΜΒΑΝΟΜΕΝΟΣ ΩΣ ΖΩΟΝ ΒΑΛΛΕΤΑΙ ΥΠΟ ΚΥΝΗΓΟΥ Ἢ ΒΟΣΚΟΥ ΔΙΑ ΤΟΞΟΥ

Ἡ διήγησις εἰς τὸ Συναξάριον εἶναι γνωστή. Ὁ ἅγιος ἐξῆλθεν εἰς ἀνεύρεσιν τροφῆς καὶ περιεπάτει ὡς ζῷον... τετράπουν! Ποιμὴν προβάτων, νέος ἐπιτήδειος εἰς τὸ τόξον, πορευόμενος εἰς τὸν λόγγον (ποῖον λόγγον;), ζητῶν νὰ εὕρῃ τίποτε κυνήγιον, ἰδὼν τὸν ἅγιον τὸν ἐξέλαβεν ὡς ζῷον (λαγωὸν ἢ πέρδικα ἢ ἄρκτον;). Περὶ τὸ σπήλαιον τοῦ Καθολικοῦ οὔτε ζῷον εὑρίσκει τι νὰ βοσκήσῃ, οὔτε ποιμὴν ἦτο δυνατὸν νὰ ὑπάρχῃ: *Οὐκ ἦν ἐκεῖσε βοτάνων βλάστημα, οὐ ξύλα* (= δένδρα) *καρποφόρα, οὔτ' ἄλλο τι τῶν ἐδωδίμων, ἀλλὰ πέτραι ξηραί, σιδηρίζουσαι, βράχοι μόνον, ὁ δὲ ἅγιος κατῆλθεν ἐκ τοῦ ὄρους* (ποίου ὄρους; τὸ σπήλαιον δὲν εἶναι ἐπὶ ὄρους) *κυρτοφερὴς καὶ τετράπους, καὶ ἐν χωραφίῳ τινὶ ᾧ κύαμοι ὑπῆρχον διεσπαρμένοι, εἰσῆλθε τάχα τοῦ μεταλαβεῖν τροφῆς ἐξ αὐτῶν* (νὰ φάῃ χλωροκούκκια!). *Ποιμὴν δέ τις ἰδὼν αὐτὸν ἐν τοῖς κυάμοις, καὶ νομίσας ὅτι ἄγριον ζῷον ἐστίν, ἐτόξευσε τὸν τοῦ Χριστοῦ δοῦλον, καθὼς ᾄδεται παρὰ πολλοῖς* (Ε 510, 17β, Παρνασσὸς 24, 1982, 403). Ἐφαντάσθη ὁ γράψας ταῦτα ὅτι τὸ σπήλαιον ἦτο ἐπὶ ὄρους καὶ ὅτι ὁ ἅγιος κατῆλθεν εἰς πεδινὸν τόπον ὅπου ὑπῆρχον σπαρμένα κουκκιά (κατὰ μῆνα Ὀκτώβριον! φεῦ τῆς ἀφελείας του), διὰ νὰ εἰσέλθῃ εἰς τὸ ξένον χωράφι καὶ νὰ τὰ τρυγήσῃ πρὸς χορτασμόν του! Ἐκεῖ ἡμέρα - μεσημέρι τὸν ἐξέλαβεν ὁ βοσκὸς ὡς ζῷον (ἀντὶ νὰ ἐκλάβῃ τὸν τοιοῦτον Συναξαριστήν!). Τόσον ὅμως χονδρὰ εὗρεν ὁ μυθοπλαστῶν ὅσα λέγει ὥστε τὰ ἐφόρτωσεν εἰς τοὺς ἁπλοϊκούς: *καθὼς ᾄδεται παρὰ πολλοῖς*. Οὐδ' ἐσκέφθη ὅτι ζῷα ἄγρια τοῦ μεγέθους ἔστω καὶ κατεσκληκότος ἀσκητοῦ δὲν ὑπῆρχον οὔτε εἰς τὸ Ἀκρωτήρι οὔτε που ἀλλαχοῦ τῆς Κρήτης.

Ἐξήτασα ἤδη τὸ θέμα τοῦτο[1] εἰς τρεῖς ἄλλας περιπτώσεις (ἅγιος Νικόλαος ὁ Κουρταλιώτης, Ἅγιος Εὐθύμιος, Ζαρό), ὅπου οἱ ἅγιοι τοξεύονται (ἢ καὶ μεταγενεστέρως πυροβολοῦνται, ὡς εἰς Καλὸ Νερὸ Σητείας)[2], αἱ διηγήσεις δ' αὗται συνδέονται πάντοτε πρὸς σπήλαια.

Καὶ οἱ εὐσεβεῖς μῦθοι συνεχίζονται. Ὁ Ἰωάννης Ἰωάννου, γράφων περὶ τοῦ σπηλαιοβαράθρου Ζουρὲ τοῦ Ἀζωγυρὲ Κρήτης διηγεῖται ὅσα ἤκουσε περὶ τοῦ ὁσίου Ἰωάννου ὡς τοξευθέντος *ἐκεῖ καὶ* οὐχὶ εἰς τὸ παρὰ τὸ Καθολικὸν τοῦ Γδερνέττου σπήλαιον! «Κυνηγὸς ποὺ κατὰ λάθος τραυμάτισε τὸν ἅγιο Ἰωάννη ποὺ ἦταν μαζὶ μὲ τοὺς 99 Πατέρες, ἀκολουθῶντας τὸ αἷμα ἀπὸ τὸ τραῦμα τοῦ ἁγίου, τὸν βρῆκε στὴν εἴσοδο τοῦ βαράθρου. Τοῦ ζήτησε συγγνώμη γιὰ τὸ λάθος του. Ὁ ἅγιος Ἰωάννης τὸν εὐλόγησε καὶ (τραυματίας καὶ ἑτοιμοθάνατος ὡς ἦτο) κατέβηκε πρὸς τὸ βάθος τοῦ σπηλαιοβαράθρου. Ὁ κυνηγὸς ἄκουσε ἀπὸ τὸ βάθος νὰ ἔρχωνται φωνὲς καὶ ψαλμοὶ ἀγγέλων. Γύρισε τρέχοντας στὸ χωριὸ Ἀζωγυρέα καὶ εἶπε τὰ νέα. Ὅλοι μαζὶ οἱ κάτοικοι πῆγαν καὶ... συνεχίζουν νὰ πηγαίνουν κάθε 7 Ὀκτωβρίου γιὰ νὰ ἀνάψουν τὰ καντήλια καὶ κεριὰ καὶ μὲ λειτουργία νὰ τιμήσουν τὴν μνήμη τῶν ἁγίων 99 Πατέρων»[3].

Εἶναι φανερὸν ὅτι εἰς ὅλα τὰ σπήλαια τῆς Κρήτης εὑρίσκοντο ὀστᾶ προϊστορικῆς ἐποχῆς, ζῴων καὶ ἀνθρώπων. Ὁ ἀριθμὸς 100 δὲν εἶναι καθοριστικὸς ἀλλ' ἐνδεικτικὸς πλησμονῆς (ἑκατὸ φορὲς τοῦ τὸ εἶπα, λήψεσθε μισθὸν ἑκατονταπλασίονα)[4]. Ὅπου εὑρίσκοντο τοιαῦτα ὀστᾶ ὁ χῶρος ἦτο λατρευτικός, πιθανώτατα καὶ κατὰ τὴν ἀρχαιότητα. Οἱ τοῦ Ἀζωγυρὲ λέγονται μὲν 99 ἀλλὰ μετὰ τοῦ Χριστοῦ ἐθεωροῦντο 100. Οὐδεμία ἀμφιβολία ὑπάρχει ὅτι ἡ σύνδεσις τοῦ σπηλαίου καὶ τῶν ἐκεῖ ἀσκητῶν ὀφείλεται εἰς τὸ ὅτι ὁ Ἰωάννης ὁ Ξένος τὸ μόνον κτίσμα τὸ ὁποῖον ἐδημιούργησεν εἰς τὴν περιφέρειαν τοῦ Σελίνου ἦτο ὁ ναὸς τοῦ Ἁγίου Γεωργίου εἰς τὸν Ἀζωγυρέα, κατὰ τὴν ἰδίαν του διήγησιν. Ἀλλ' οὔτε ἐκεῖ ἐμόνασεν ὁ ἴδιος οὔτε μετήγαγεν ἑτέρους 99.

---

1. Ὁ ὅσιος Ἰωάννης ὁ Ξένος καὶ οἱ ἐν Κρήτῃ Ἀσκηταί, οἱ κατὰ τὰς παραδόσεις τοξευθέντες ὡς ζῷα, Ἀθηνᾶ 76, 1977, σσ. 343 - 353.

2. Αὐτόθι, σσ. 349 - 353.

3. Δελτίον Ἑλληνικῆς Σπηλαιολογικῆς Ἑταιρείας 10, 1970, σσ. 84 - 88, ἐν σ. 86.

4. Πρβλ. τὰ βυζαντινά: ἑκατονταθύσανος, ἑκατοντακέφαλος, ἑκατοντάκρηπις, ἑκαντοντάμαχος, ἑκατόντανδρος, ἑκατοντάπεδον, ἑκατοντάπλεθρος, ἑκατοντάρουρος, ἑκατοντάχειρ, ἑκατοντόφθαλμος, ἑκατοστολόγος καὶ εἴ τι ἄλλο ἐθησαυρίσθη παρὰ E. A. Sophocles, Greek Lexicon I, 1887, σσ. 430 - 431, καὶ τὰ Νεοελληνικά, ἐκ πλειόνων ἄλλων, παρὰ Στ. Κουμανούδη, Συναγωγὴ Νέων Λέξεων, 1900, σσ. 334 - 335: ἑκατόγλωσσος, ἑκατόμματος, ἑκατόμμετρον, ἑκατόμπηγον (ὄρος), ἑκατόμφωνος, ἑκατόσκαφος (στόλος), ἑκατότομος (συγγραφή), διὰ νὰ περιορισθῶ εἰς αὐτά.



## IX. Η ΕΚ ΓΑΥΔΟΥ ΘΑΥΜΑΤΟΥΡΓΙΚΗ ΠΡΟΣ ΚΡΗΤΗΝ ΔΙΑΒΑΣΙΣ ΕΠΙ ΤΟΥ ΠΑΛΛΙΟΥ ΤΟΥ ΤΗΣ ΘΑΛΑΣΣΗΣ

1) Κῶδιξ Ἀθωϊτικὸς Μ. Λαύρας Ε 110 (Εὐστρατ. 572) 16ου αἰ.

Κατὰ τὸν κώδικα τοῦτον Συναξάριον δημοσιευθὲν ὑπ' ἐμοῦ ἐν ΕΕΒΣ 20, 1950, σσ. 326 - 329, καὶ εἰς τὴν Ἀκολουθίαν τοῦ 1782 (μὲ μικρὰς διαφορὰς) καὶ τὰς κατὰ ταύτην μεταγενεστέρας ἐκδόσεις:

*Καὶ ὁ ἅγιος ἔρχεται μὲ μεγάλην πίστιν εἰς τὸν αἰγιαλὸν* (τῆς Γαύδου) *καὶ κάμνων τὸ σημεῖον τοῦ τιμίου σταυροῦ, καὶ ἁπλώσας τὸ ῥάσον του εἰς τὰ ὕδατα τῆς θαλάσσης καὶ θέσας τὴν ῥάβδον αὐτοῦ ὡς κατάρτιον, καὶ τὸ ἥμισυ τοῦ ῥάσου του ὡς ἄρμενον, προσηύχετο μὲ πίστιν νὰ τὸν ὁδηγήσῃ ὁ Θεὸς νὰ περάσῃ ἀβλαβὴς εἰς Κρήτην... Καὶ πάλιν ὁ Ἰωάννης ποιῶν τὸ σημεῖον τοῦ τιμίου σταυροῦ, καὶ λέγων τὸ ἅγιον σύμβολον καὶ ἄλλα κατανυκτικά, ψαλμοὺς καὶ τροπάρια, καὶ σφραγίσας τὸν αἰγιαλὸν τῷ σημείῳ τοῦ τιμίου σταυροῦ, ἀνέβη ἐπάνω εἰς τὸν μανδύαν αὐτοῦ, καὶ ὢ τοῦ θαύματος, ἤρχισεν ἐν ὀνόματι τοῦ Κυρίου νὰ πλέῃ τὴν θάλασσαν, καὶ οὕτω πλέων καὶ ψάλλων ἔτρεχεν ἀδιστάκτως πρὸς τοὺς ἀδελφούς. Καὶ φθάσας ὁ ἅγιος εἰς τὴν Κρήτην...* (σ. $327_{,40-52}$).

2) Ἐν τῷ αὐτῷ κώδικι, φ. 15r κἑξ.

Ἐδημοσιεύθη εἰς τὸ περ. Παρνασσὸς 24, 1982, σσ. 400 - 402.

... *Καὶ πληρώσας τὴν εὐχὴν καὶ στὰς κατὰ Ἀνατολάς, καὶ σημειώσας τὸν σταυρὸν ἐν τῷ σώματι αὐτοῦ, καὶ εἰπὼν τὸ ἅγιον Σύμβολον τρὶς καὶ τὸ Πάτερ ἡμῶν καὶ τὸ Δι' εὐχῶν τῶν ἁγίων Πατέρων, καὶ σφραγίσας σταυρὸν* (= σταυρῷ) *ἐπὶ τὸν αἰγιαλὸν τῇ ῥάβδῳ αὐτοῦ καὶ βαλὼν τὸ ἅγιον μανδίον αὐτοῦ ὥσπερ ἱστίον καὶ τὴν ῥάβδον αὐτοῦ ὡς ἱστόν, καὶ βὰς ἄνω ἐν τῷ μανδίῳ αὐτοῦ, ἄρξατο πλέειν ἐπὶ τὴν θάλατταν ἐν τῷ ὀνόματι Κυρίου καὶ οὐκ ἐδίστασε τοσοῦτον διάστημα τῆς θαλάσσης... Καὶ πλέων ἔψαλλεν ἀδιστάκτως: Ὅτι τὸ πέλαγος πολύ, καὶ τὰ ἑξῆς... Ὁμοίως καὶ οἱ ἕτεροι ἀδελφοὶ ψαλμῳδίαις ἀπαύστοις ἀνύμνουν τὸν Θεόν, ὡς φθάσαντος* (= φθάσας) *ὁ ἀδελφὸς αὐτῶν εἰς τὴν ξηράν. Καὶ δοὺς ὁ πρωτεύων τὴν χεῖρα ἐπελάβετο αὐτὸν* (σσ. 401 - 402).

Τὸ δεύτερον τοῦτο κείμενον, ἐλαφρῶς λογιώτερον, παραγεμίζει τὸ πρῶτον καθορίζοντος τοῦ γράψαντος τί ἀκριβῶς εἶπεν ἢ ἔψαλεν ὁ Ἰωάννης προσευχόμενος τόσον πρὸ τοῦ θαύματος, ὅσον καὶ κατὰ τὴν θαυμαστὴν διάβασιν. Εἰς τὸ πρῶτον ὁ Ἰωάννης ἀνέβη εἰς τὸν μανδύαν ἢ ράσον αὐτοῦ, χρησιμοποιήσας τὸ ἥμισύ του ὡς ἄρμενον (καὶ τὸ ἕτερον ὡς σκάφην) καὶ θεὶς τὴν ράβδον του ὡς κατάρτιον. Ὁ δεύτερος ἐχρησιμοποίησε τοὺς ὅρους μανδίον, ἱστός, ἱστίον. Ἀμφότεροι χρησιμοποιοῦν τὸ ρῆμα *σφραγίζειν* ἐπὶ τοῦ ποιεῖν τὸ ση-

μεῖον τοῦ σταυροῦ, καὶ τὸν ὅρον *αἰγιαλὸν* (τὴν πρὸ αὐτοῦ θάλασσαν), μὲ τὴν διαφορὰν ὅτι ὁ δεύτερος λέγει ὅτι τὸ σφράγισμα ἐγένετο διὰ τῆς ράβδου τοῦ ἁγίου (ὡς ἄλλου Μωυσέως ἐν τῇ 'Εξόδῳ). Οἱ ὑμνογράφοι (βλ. σ. 59) χρησιμοποιοῦν καὶ τὸν ὅρον *παλλίον* ἀντὶ τοῦ ράσου, μανδύας ἢ μανδίον.

'Η ὑπόθεσις αὐτὴ ἐνθυμίζει πρῶτον μὲν τὴν διήγησιν τῆς 'Εξόδου (ιδ', 15 - 31), καθ' ἣν τυφθείσης τῆς θαλάσσης 'Ερυθρᾶς διέβησαν οἱ φεύγοντες 'Ισραηλῖται, καὶ πάλιν διὰ τῆς ράβδου (σταυροειδῶς) ἐκλείσθη αὐτὴ καὶ συνέπνιξε τοὺς διώκοντας Αἰγυπτίους. 'Αλλὰ πολὺ περισσότερον ὁ πυρὴν τῆς διηγήσεως εὕρηται εἰς ὅσα ἡ Π. Δ., Βασιλειῶν Δ', β', 7 - 8 (Regum II), ἐξιστορεῖ περὶ τοῦ προφήτου 'Ηλιοὺ καὶ τοῦ ἀκολούθου του 'Ελισσαίου: *Καὶ ἀμφότεροι ἔστησαν ἐπὶ τοῦ 'Ιορδάνου.*[8] *καὶ ἔλαβεν 'Ηλιοὺ τὴν μηλωτὴν αὐτοῦ* (*tulitque Elias p a l l i u m suum.* Vulgata) *καὶ εἴλησε καὶ ἐπάταξε τὸ ὕδωρ καὶ διῃρέθη τὸ ὕδωρ ἔνθα καὶ ἔνθα, καὶ διέβησαν ἀμφότεροι* ('Ηλιοὺ καὶ 'Ελισαιὲ *ἐν ἐρήμῳ*. Μετὰ δὲ τὴν ἐν συσσεισμῷ ἀνάληψιν τοῦ προφήτου 'Ηλιοὺ, ὁ ὀδυρόμενος 'Ελισσαῖος, ἐπὶ τοῦ ὁποίου ὁ ἀναληφθεὶς εἶχε ρίψει τὴν μηλωτήν του (τὸν ἐξ ἐρίου μανδύαν—pallium), ἐπανέλαβε τὸ θαῦμα: [13] *καὶ ὕψωσεν τὴν μηλωτὴν 'Ηλιού, ἣ ἔπεσεν ἐπάνω 'Ελισαιὲ καὶ ἐπέστρεψεν 'Ελισαιὲ καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ 'Ιορδάνου.*[14] *καὶ ἔλαβε τὴν μηλωτὴν 'Ηλιού, ἣ ἔπεσεν ἐπάνωθεν αὐτοῦ, καὶ ἐ π ά τ α ξ ε ν τ ὸ ὕ δ ω ρ καὶ οὐ διέστη· καὶ εἶπεν· ποῦ ὁ Θεὸς 'Ηλιοὺ ἀφφώ; καὶ ἐπάταξεν τὰ ὕδατα καὶ δ ι ε ρ ρ ά γ η σ α ν ἔνθα καὶ ἔνθα καὶ διέβη 'Ελισαιὲ* (τὸν 'Ιορδάνην).

Τὸ θαῦμα τοῦτο δὲν ἀφῆκαν ἀνεκμετάλλευτον οἱ συγγραφεῖς Βίων καὶ Συναξαρίων. Καὶ πόσοι μὲν 'Ανατολικοὶ τὸ ἐχρησιμοποίησαν δὲν δύναμαι, ἐπὶ τοῦ παρόντος, νὰ εἴπω.

'Αλλ' εἰς τὴν Λατινικὴν 'Αγιογραφίαν ἐσημειώθησαν εἴκοσι περιπτώσεις ἀναφερόμεναι εἰς ἁγίους ζήσαντας μεταξὺ τοῦ πέμπτου καὶ δεκάτου ἕκτου αἰῶνος, εἰς κείμενα δὲ γραφέντα μεταξὺ τοῦ δεκάτου καὶ δεκάτου ἑβδόμου αἰῶνος, περὶ πατάξεως τῶν ὑδάτων θαλασσῶν καὶ ποταμῶν καὶ ἐπὶ τοῦ παλλίου ἢ μανδίου διαβάσεως εἶτα αὐτῶν τῶν ἐν λόγῳ ἁγίων, οἱ ὁποῖοι ἔφθανον ἄβροχοι. Πάντοτε τὰ ὕδατα ἐπατάσσοντο σταυροειδῶς, πρὸ τῆς διαβάσεως[1].

Καὶ αὐτὸς ὁ ἀριθμὸς τῶν ἐκ Γαύδου εἰς Κρήτην 99 Πατέρων, τῶν κατοικησάντων εἰς δύο διάφορα σπήλαια τοῦ 'Αζωγυρέα, ὑπενθυμίζει τὴν Γραφικὴν διήγησιν καθ' ἣν 100 προφῆται 'Ισραηλῖται μονοθεϊσταί, διωκόμενοι ὑπὸ τῆς 'Ιεζάβελ, εἰδωλολάτρου συζύγου τοῦ 'Αχαάβ, διεσώθησαν ἀνὰ 50 εἰς σπήλαια ὑπὸ τοῦ εὐσεβοῦς 'Αβδιοῦ (Γ' Βασ. ιη' 13).

Σημειωτέον ὅτι εἰς τὴν εἰκονογραφίαν (Μουσεῖον Λοβέρδου 313, βλέπε

1. B a u d o u i n d e G a i f f i e r, Un thème hagiographique: Mer ou fleuve traversés sur un manteau, AB 99, Bruxelles 1981, σσ. 5 - 15.


7 - 3 - 1985

Α'




Εἰκὼν ἁγίου 'Ιωάννου τοῦ 'Ερημίτου (Μουσεῖον Λοβέρδου)

Β΄



Εἰκὼν ἁγίου Ἰωάννου τοῦ Ἐρημίτου (Μουσεῖον Λοβέρδου, ἀρ. 313)

Γ΄



Τὸ ἀρχαῖον Καθολικὸν τῆς μονῆς Γδερνέττου

με, Κρητ. Χρον. 2, 1948, σ. 48, πίναξ Β') πανταχοῦ μὲν προσευχόμενος ἢ τοξευόμενος κλπ. ὁ Ἰωάννης ὁ Ἐρημίτης ἐζωγραφήθη ὡς μεγαλόσχημος μοναχός, ὀρθοστάδην (καὶ οὐδέποτε ὡς ζῷον διὰ τῶν τεσσάρων περιπατῶν!) καὶ φέρων μανδύαν, πλὴν τῆς διαβάσεως τῆς θαλάσσης ὅτε φαίνεται πατῶν ἐπὶ τοῦ ἡμίσεος τοῦ μανδύου του, διὰ τῶν χειρῶν δὲ κρατῶν τὴν ράβδον ἐφ' ἧς ἁπλοῦται τὸ ἕτερον ἥμισυ αὐτοῦ.

## Χ. ΓΑΥΔΟΣ[1]

Ἡ Γαῦδος καὶ ἡ παρ' αὐτὴν ἀκατοίκητος Γαυδοπούλα (ὑποτιθεμένη Ὀφιοῦσα) εἶναι ἑλληνικαὶ νῆσοι ἔναντι τῶν Σφακίων, ἀπέχουσαι τῆς Κρήτης περὶ τὰ εἴκοσι ναυτικὰ μίλια. Ἡ Γαῦδος κατὰ τὴν ἀπογραφὴν τοῦ 1881 εἶχε 417 κατοίκους ᾠκισμένους εἰς ὀκτὼ συνοικισμούς, σήμερον δ' ἔχει μόλις τὸ τρίτον εἰς τρεῖς κυρίως συνοικισμούς. Ὑπήγετο δ' εἰς τὴν ἐπαρχίαν Σφακίων (τοῦ ὁμωνύμου διαμερίσματος ἢ νομοῦ) καὶ ἐκκλησιαστικῶς εἰς τὴν ἐπισκοπὴν Λάμπης καὶ Σφακίων, νῦν δ' ὑπάγεται εἰς τὸν νομὸν Χανίων (ὑφ' ὃν καὶ ἡ ἐπαρχία Σφακίων), ἀλλὰ εἰς τὴν μητρόπολιν Κισάμου καὶ Σελίνου. Ἡ Γαῦδος ἔχει δύο ὁρμίσκους, τρία ἀκρωτήρια καὶ τρίγωνον σχῆμα. Οἱ κάτοικοί της λέγονται Γαυγιῶτες.

Ὁ Ἀπ. Παῦλος διηγεῖται ὁ Λουκᾶς ὅτι μεταφερόμενος πρὸς Ἰταλίαν *νησίον δέ τι ὑποδραμόντες καλούμενον Κλαῦδα* (Κλαύδην, Καύδην), *ἰσχύσαμεν μόλις περικρατεῖς γενέσθαι τῆς σκάφης*... (Πράξεις 27, 16). Τοῦτο παραφράζων ὁ ἁγιολόγος τῆς 29ης Ἰουνίου (Πέτρου καὶ Παύλου) ἔγραψε: *Τὰ Μύρα τῆς Λυκίας καταλαβόντες, ἐκεῖθέν τε ἐν Κνίδῳ παραβολὴν καὶ τὴν Κρήτην κατὰ Σαλμώνιον ἐκπλεύσας, εἰς Καλοὺς (οὕτω καλουμένους) Λιμένας καταίρει, καὶ τὴν Κρήτην παραλεγόμενος ἀνέμου βίαις... εἰς Κ λ α ύ δ η ν ἔρχεται νῆσον*, L a t y š e v, Menologii II, 1911, σ. 120. Συνεσχετίζετο λοιπὸν τὸ ὄνομα τοῦτο τῆς Καύδης ἢ Γαύδης πρὸς τὸν Κλαύδιον (Claudius). Διὸ εἰς τὰ Μακαριστάρια τοῦ Ἰω. Ἐρημίτου ἀναγινώσκω: *Γαίας τῆς Κλαυδίου πρὸς σπήλαιον τῆς Πέτρας* (sc. Ἀζωγυρέα Σελίνου) *διῆλθες, ὦ Τρισμάκαρ* (Ἀντώνιος Γραδενίγος). Ἐνῷ ὁ Βενέδικτος Τζανκαρόλος (πρὸ τοῦ 1645) εἰς ἄλλα μακα-

*Παρόντος δὲ* (Χριστοῦ) *μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως, καὶ ἐπὶ τοῦ δικαστικοῦ προκαθημένου θρόνου, καὶ σιγῶσι πάντες καὶ ἠρεμοῦσι, καὶ τρέμουσιν. Εἰ δὲ ζωγραφεῖται ζυγοστάσια καὶ χειρόγραφα ἐν ταῖς εἰκόσι ταῖς ἐπιγραφομέναις Ἡ Δευτέρα τοῦ Χριστοῦ Παρουσία, ξένον οὐδέν. Πολλὰ γὰρ παρὰ τῶν ζωγράφων, φιλοτιμίας χάριν ἢ ἐνδείξεως ἕνεκα πολλαχοῦ ἐγγράφεται· καὶ μάλιστα εἰ τὴν ἡμέραν ταύτην γράψαι φιλοτιμήσονται· καθάπερ ἄρα καὶ τοὺς Δώδεκα γράφουσιν Ἀποστόλους καθεζομένους ὡς κρίνοντας, καὶ τὸν μὲν Παῦλον καὶ Μάρκον καὶ Λουκᾶν, οἷς οὐδὲν τοιοῦτον ἐπήγγελται, τῇ ἐννεάδι τῶν ἄλλων συνάπτουσι, τὸν δὲ τοῦ Ἀλφαίου Ἰάκωβον, καὶ τὸν Θαδδαῖον ταύτης ἐκβάλλουσιν, οἷς ὁ Σωτὴρ ὑπέσχετο ἀψευδῶς συνεδρεύειν αὐτῷ κατ' ἐκεῖνο καιροῦ. Πρὸς δὲ καὶ κολάσεων εἴδη ζωγραφοῦσι μυρία, τοὺς σχηματισμοὺς τούτων καὶ τὰς μορφὰς ἀναπλάττοντες οἴκοθεν.* (Λόγος Β' Περὶ τῆς Μελλούσης Κρίσεως).

IV. Οἱ Ἀπόστολοι, τ. Β', σ. 373.

... *καὶ πρὸς τῶν ζωγράφων οἱ Ἀπόστολοι ἐπὶ δώδεκα θρόνων διατυποῦνται καθήμενοι ἐν τῇ Κρίσει μετὰ Χριστοῦ· ἀλλὰ τὸ πάγιον καὶ μόνιμον καὶ ἑδραῖον τῆς τούτων δόξης ὁ λόγος αἰνίττεται· μόνος δ' ἄρα ὁ Κύριος, οἷον ἐξ ὄρους τῶν Ἐλαιῶν ἀνελήφθη καὶ οἷος νῦν κάθηται ἐν δεξιᾷ τῆς μεγαλωσύνης τὸ τηνικαῦτα καθιεῖται Κριτής, ἄνθρωπος κρίνων ἀνθρώποις, περιγραπτὸς τοὺς περιγραπτούς, καὶ τοῖς ὁρωμένοις ὁρώμενος· ἐπεὶ κατὰ τὸ ἀπερίγραπτον καὶ ἀόρατον καὶ ὁ Πατὴρ τούτῳ σύνεδρος καὶ ἦν καὶ ἔσται καὶ ὁ Παράκλητος.* (Λόγος Α' Περὶ τῆς Μελλούσης Κρίσεως).

V. Ἀνακαίνισις παλαιῶν Εἰκόνων, τ. Γ' (Παραλειπόμενα), σσ. 6-7.

*Καὶ σκοπὸς τοῦ ζωγράφου τὸ τὴν συγχωσθεῖσαν εἰκόνα καὶ ῥυπωθεῖσαν ἀναμορφῶσαι, ἢ μιμήσασθαι ἀκριβῶς τὸ πρωτότυπον.*

## Ζ'. ΔΟΥΚΑΣ, ΙΣΤΟΡΙΚΟΣ ΤΗΣ ΑΛΩΣΕΩΣ (1453)

### α') Ἡ λεηλασία τῆς Ἁγ. Σοφίας

XXXIX, 21 : (Περὶ τοῦ ναοῦ τῆς Ἁγίας τοῦ Θεοῦ Σοφίας)

*Τὰ δὲ τοῦ ναοῦ πῶς; Τί εἴπω, ἢ τί λαλήσω;... Αὐθωρὸν οἱ κύνες* (sc. οἱ Τοῦρκοι) *τὰς ἁγίας εἰκόνας κατέκοψαν, τὸν κόσμον* (αὐτῶν) *ἀφελόντες, τὰς ἁλύσεις, τὰ μανουάλια, ἐνδυτὰς τῆς ἁγίας τραπέζης, τὰ φωτοδόχα ἀγγεῖα, ἄλλα φθείροντες, ἕτερα λαμβάνοντες.*

*Τὰ τοῦ ἱεροῦ σκευοφυλακίου τίμια καὶ ἱερὰ σκεύη, χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ ἐξ ἄλλης τιμίας ὕλης κατασκευασθέντα, ἅπαντα ἐν μιᾷ ῥοπῇ συνήγαγον, ἀφέντες τὸν ναὸν ἔρημον καὶ γυμνόν, μηδοτιοῦν καταλείψαντες*[1].

XLII, 1: Ἡ τύχη τῶν ἀμφίων, ἱερῶν σκευῶν καὶ χειρογράφων

*Καὶ ἦν ἰδεῖν ἐν μέσῳ τῶν βαρβάρων ἕνα φοροῦντα σάκκον ἀρχιερατικὸν καὶ ἕτερον ζωννύμενον ἐπιτραχήλιον χρυσοῦν, ἕλκοντα κύνας ἐνδεδυμένους, ἀντὶ τῶν σαγισμάτων, ἀμνοὺς χρυσοϋφάντους. Ἄλλοι ἐν συμποσίοις καθήμενοι, καὶ τοὺς ἱεροὺς δίσκους ἔμπροσθεν σὺν διαφόροις ὀπώραις ἐσθίοντες, καὶ τὸν ἄκρατον πίνοντες ἀπὸ τῶν ἱερῶν κρατήρων* (ποτηρίων sc.). *Τὰς δὲ βίβλους ἁπάσας φορτηγώσαντες ἁπανταχοῦ ἐν τῇ Ἀνατολῇ καὶ Δύσει διέσπειραν. Δι' ἑνὸς νομίσματος δέκα βίβλοι ἐπιπράσκοντο, ἀριστοτελικοί, πλατωνικοί, θεολογικοί, καὶ ἄλλο πᾶν εἶδος βίβλου. Εὐαγγέλια μετὰ κόσμου παντοίου ὑπὲρ μέτρον, ἀποσπῶντες τὸν χρυσὸν καὶ τὸν ἄργυρον, ἄλλ' ἐπώλουν, ἄλλ' ἔρριπτον.*

*Τὰς εἰκόνας ἁπάσας πυρὶ παρεδίδουν· σὺν τῇ ἀναφθείσῃ φλογὶ κρέη ἐψῶντες ἤσθιον*[2]*!*

1. Δούκας (Grecu), σ. 367,18-25.
2. Αὐτόθι, σ. 393,1-11.



## Δ'

## ΠΟΙΗΤΑΙ ΚΑΙ ΥΜΝΟΓΡΑΦΟΙ ΠΕΡΙ ΙΕΡΩΝ ΕΙΚΟΝΩΝ ΣΤΙΧΟΥΡΓΗΣΑΝΤΕΣ

### ΑΙ ΕΙΚΟΝΕΣ ΠΡΟ ΚΑΙ ΜΕΤΑ ΤΗΝ ΕΙΚΟΝΟΜΑΧΙΑΝ ΥΜΝΟΓΡΑΦΙΚΩΣ

### Ι. Ὁ Ρωμανός (πρὸ τοῦ 560 †)

Ἡ ὁρολογία

*Ἰδού μοι δύο εἰκόνων ζωγράφος ἡ Σαμαρεῖτις*
*ἐκ τῆς Σιχὰρ ἀνεφάνη, Ἐκκλησίας καὶ Σαμαρείας.*
Ὕμνος ΚϚ', 114 - 117

*Ὑποσκιαγραφοῦσιν ἐπὶ τὸ φρέαρ τὴν κολυμβήθραν.*
Ὕμνος ΚϚ', 148 - 149

*Ὢ τῶν σφῶν χαρακτήρων, δι' ὧν τὰ τῆς Ἐκκλησίας*
*ἐν τῇ πίστει τῆς ὁσίας* (Σαμαρείτιδος) *ζωγραφεῖται*
*ἐκ χρωμάτων ἀληθῶν, ἀπαλαιώτων.*
Ὕμνος ΚϚ', 205 - 209

Χειρόγραφος εἰκὼν (χρυσῆ Ναβουχοδονόσορος).

*Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες...*
Ὕμνος ΛΔ', κοντάκιον

*Χρυσῆν εἰκόνα πρότερον τεκτηνάμενος μετὰ ταῦτα ἀνέστησε.*
Ὕμνος ΛΔ', 52 - 53

Εἴδωλα χειροποίητα

*Ἡνίκα γὰρ εἰσῆλθεν εἰς τὴν Αἴγυπτον |*
*ἐσείσθησαν εὐθὺς τὰ χειροποίητα.*
Ὕμνος Ϛ', 453 - 456

(Χριστὸς) *μέλλει εἰς Αἴγυπτον φεύγειν...*
*τὸν Νεῖλον δὲ κατέλαβε...*
*οὐχ ὡς Μωσῆς... μᾶλλον δὲ ῥίψας ἐκεῖ*
*ἅπαν εἴδωλον αὐτῶν* (sc. τῶν Αἰγυπτίων)...
Ὕμνος Ϛ', 402 - 413

Εἰκὼν τοῦ Θεοῦ ὁ ἄνθρωπος

*Ταῖς χερσὶ πλαστουργήσας τὸν ἄνθρωπον*
*ὑπὲρ πᾶσαν τὴν Κτίσιν ἐτίμησας, Κύριε.*
*Εἰκόνα γὰρ τῆς σῆς ἀϊδιότητος ἐποίησας αὐτόν...*

Κοντάκιον Κυριακῆς τῆς Πρωτονηστίμου (Ρωμανοῦ;), Ὕμνοι, Β', σ. σπζ'.

II. Ταράσιος Πατριάρχης (;)

Κοντάκιον ψαλλόμενον εἰς τὰς ἱερὰς καὶ θείας εἰκόνας, φέρον ἀκροστιχίδα τήνδε: *Τοῖς εἰκονοκλάσταις οὐαί:*

Ἦχος πλ. δ' (Ἰδιόμελον)

*Ὁ ἀπερίγραπτος Λόγος τοῦ Πατρὸς | ἐκ σοῦ, Θεοτόκε, περιεγράφη σαρκούμενος | καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα εἰς τὸ ἀρχαῖον ἀναμορφώσας | τῷ θείῳ κάλλει συγκατέμειξεν. | Ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν | ἔργῳ καὶ λόγῳ ταύτην ἀ ν ι σ τ ο ρ ο ῦ μ ε ν.*

Οἶκος Ι'

*Ὅσοι τὰς σεπτὰς εἰκονικὰς ἀνατυπώσεις ἐπισπῶνται | τὸν Θεὸν προορῶνται διὰ παντός· | καὶ παρὰ τούτων γὰρ ἐρευνῶσι τὰ θεόπνευστα | Γραφῆς τῆς θείας ἔνθεα θαύματα· | ἔστι γὰρ αὐτή, καὶ αὗται δηλοῦσι | καὶ ὡς ἀλλήλων ἔχουσιν ἐμφάσεις. | Ταύτην σέβωμεν καὶ ταύτας πάντως· | πρὸς γὰρ θείαν διάγνωσιν ἄμφω ἀληθῶς ἐκδέδονται· | Καὶ ὁμολογοῦντες...* (Q, φ. 16r). Βλ. Ὕμνους Ρωμανοῦ, τ. Β', σσ. σπε' - σπς', ἀρ. 8, καὶ τ. Γ', σ. ρμ', ἀρ. 64.

Τοῦ αὐτοῦ

***Εἰς τὸν ἀπεικονισμὸν τῆς Σταυρώσεως***[1]

*Ἐλευθέρωσον πάντας εἰδώλων πλάνης...*

III. Εἰκὼν ἁγίου Ν ι κ η φ ό ρ ο υ († 4 Μαΐου 815)

*Οἱ φοιτηταί σου, παμμάκαρ, | τὴν ἁγίαν σου θήκην | τῷ πόθῳ περιέπουσι τῷ σῷ | καὶ τὴν εἰκόνα τυπώσαντες | σχετικῶς προσκυνοῦσιν | καὶ πίστει περιπτύσσονται τὴν σήν· | τὸν Χριστὸν γὰρ ἐν ὕμνοις | ἀπαύστως ἐμεγάλυνας.* AHG IX, σ. 56 (4 Μαΐου Ἁγίου Νικηφόρου, κανὼν VI, 192 - 199)

IV. Ν ι κ η φ ό ρ ο ς πατριάρχης Κωνσταντινουπόλεως (806 - 815)

«Εἰς τὸν τῶν ἁγίων εἰκόνων ἀνάγραπτον διάκοσμον»[2]

*Τύπους θεωρῶν ἐνθέων μυστηρίων...*

1. J. B. P i t r a, Juris Ecclesiae Graecorum historia et monumenta II, Roma 1868, σ. 365.
2. J. B. P i t r a, αὐτόθι.



V. Ἀ ν ώ ν υ μ ο ς

Ἕτερον Κοντάκιον τῇ αὐτῇ Κυριακῇ (τῆς Ὀρθοδοξίας) ἔχον ἀκροστιχίδα: *Τῆς Ὀρθο⟨δοξία⟩ς...*

Ἦχος β' πρὸς τό: *Χειρόγραφον εἰκόνα*

*Ὁ ἐκ Πατρὸς ἐκλάμψας υἱὸς ἀμήτωρ*
*ἐκ γυναικὸς ἐτέχθη διπλοῦς τῇ φύσει,*
*ὃν ἰδόντες οὐκ ἀρνούμεθα τῆς μορφῆς τὸ ἐ κ τ ύ π ω μ α,*
*αὐτὴν δὲ εὐσεβῶς ἀ ν ι σ τ ο ρ ο ῦ ν τ ε ς | σέβομεν πιστῶς,*
*καὶ διὰ τοῦτο, | τὴν ἀληθινὴν πίστιν κρατοῦσα ἡ Ἐκκλησία*
*ἀσπάζεται τὴν εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.*

Οἶκος Δ'

*Ὅσοι τὰς τῶν ε ἰ κ ό ν ω ν μορφὰς σεπτῶς ἱ σ τ ο ρ ο ῦ σ ι | διὰ παντὸς προορῶνται | τὸν Θεὸν τὸν ὑπεράγαθον· | καὶ γὰρ τὴν ἱστορίαν ὁ βλέπων καταμανθάνει | τὰ τῆς Γραφῆς εἰρημένα | πανυπέρθεα θαύματα· | νῦν γὰρ ἐκείνη βοᾷ καὶ αὗται ἀνακραυγάζουσι | ἀλλήλων ἐνεργῶς τὰς ἐμφάσεις | καὶ τὰ πράγματα...* Βλ. Ρωμανοῦ Ὕμνοι, τ. Β', σ. σπς'

ΟΙ ΕΠΙΓΡΑΜΜΑΤΟΠΟΙΟΙ

Πρὸ τῆς Εἰκονομαχίας

I. Ν ε ῖ λ ο ς ὁ Σ χ ο λ α σ τ ι κ ὸ ς (α' ἥμισυ ε' αἰ.)

***Εἰς εἰκόνα τοῦ Ἀρχαγγέλου***

*Ὡς θρασὺ μορφῶσαι τὸν Ἀσώματον· ἀλλὰ καὶ εἰκὼν*
*ἐς νοερὴν ἀνάγει μνῆστιν ἐπουρανίων.*
(Waltz, Anth. Gr. I, 33)

II. Ἀ γ α θ ί α ς Σ χ ο λ α σ τ ι κ ὸ ς

***Εἰς τὴν αὐτὴν (εἰκόνα τοῦ Ἀρχαγγέλου) ἐν Πλάτῃ.***

*Ἄσκοπον ἀγγελίαρχον ἀσώματον εἴδεϊ μορφῆς,*
*ἆ μέγα τολμήεις, κηρὸς ἀπεπλάσατο.*
*Ἔμπης οὐκ ἀχάριστον, ἐπεὶ βροτὸς εἰκόνα λεύσσων*
*θυμὸν ἀπιθύνει κρέσσονι φαντασίῃ·*
5 *οὐκέτι δ' ἀλλοπρόσαλλον ἔχει σέβας, ἀλλ' ἐν ἑαυτῷ*
*τὸν τύπον ἐγγράψας ὡς παρεόντα τρέμει·*
*ὄμματα δ' ὀτρύνουσι βαθὺν νόον· οἶδε δὲ τέχνη*
*χρώμασι πορθμεῦσαι τὴν φρενὸς ἱκεσίην.*
Anth. Gr. I, 34 (Waltz)

Ὁ αὐτὸς

**Εἰς εἰκόνα Θεοδώρου Ἰλλουστρίου καὶ δὶς ἀνθυπάτου, ἐν ᾗ γέγραπται παρὰ τοῦ ἀρχαγγέλου δεχόμενος τὰς ἀξίας ἐν Ἐφέσῳ:**

*τῆς δ' εὐγνωμοσύνης μάρτυς γραφίς· ὑμετέρην γὰρ*
*χρώμασι μιμηλὴν ἀντετύπωσε χάριν.*

Αὐτόθι, I, 36,5-6

III. Θεόδωρος Στουδίτης (759 - 826 †)

XIL. **Εἰς ἐνδυτὴν** (*ἐνδύτην* editor).

*Τὸν κοσμοποιὸν σωματούμενον βλέπων,*
*σὺν τῇ τεκούσῃ, τῇ γραφῇ τῶν εἰκόνων,*
*καταπλάγηθι, πῶς Θεὸς βρέφος πέλει,*
*ἅπαντά τε δρᾷ πρὸς βροτῶν σωτηρίαν,*
*ἵν' εἰς ἑαυτὸν τὴν φθορὰν κατακρίνας,*
*τὸ πλάσμα σώσῃ Θεότητος τῷ κράτει.*
*Τὸ δὴ φρονοῦσα τῇ Θεητόκῳ φέρει,*
*πρὸς λύτρον αὐτῆς τ' ἀνδρός, ἄχραντον δόμα.*

ΕΕΒΣ ΚΗ', 1958, σ. 37, ἀρ. XLI (Garzya)

IV. Ταράσιος πατριάρχης Κωνσταντινουπόλεως (784 - 806)

**Εἰς τὸν ἀπεικονισμὸν τῆς Σταυρώσεως.**

*Ἐλευθερώσας πάντας εἰδώλων πλάνης...*

J. B. Pitra, Ecclesiae Graecorum historia et monumenta. II, Roma 1868, σ. 365.

V. Νικηφόρος πατριάρχης Κωνσταντινουπόλεως (806 - 815)

**Εἰς τῶν ἁγίων εἰκόνων ἀνάγραπτον διάκοσμον**

*Τύπους θεωρῶν ἐνθέων μυστηρίων...*

Pitra, ἔνθ' ἀνωτ., II, σ. 365.

VI. Κωνσταντῖνος ὁ Ρόδιος (AP 15, 17)
(ἐπὶ Λέοντος ϛ', θ' - ι' αἰ.)[1]

(LXIV) *Εἰ ζωγραφεῖν τις ἤθελέν σε, Παρθένε,*
*ἄστρων ἐδεῖτο μᾶλλον ἀντὶ χρωμάτων*
*ἵν' ἐγράφης φωστῆρσιν, ὡς φωτὸς πύλη.*
*ἀλλ' οὐχ ὑπείκει ταῦτα τοῖς βροτῶν λόγοις·*

1. Σ. Μενάρδος, Κωνσταντῖνος ὁ Ρόδιος, BN-J V, 1927, σσ. 419 - 422.



5 *ἃ δ' οὖν φύσις παρέσχε καὶ γραφῆς νόμος*
*τούτοις παρ' ἡμῶν ἱστορῇ τε καὶ γράφῃ.*

VII. Θεόδωρος ὁ Πρόδρομος

**Εἰς εἰκόνα ἔχουσαν Χριστὸν ἱστορημένον**

(LIII) *Ἂν ἡ Θεοῦ χεὶρ οἶδε καὶ τύπους γράφειν*
*ἡ πρὶν βροτοὺς γράψασα πλαστικοῖς νόμοις,*
*ἡ σή σε χεὶρ ἔγραψεν ὧδε, παντάναξ,*
*ἐξ αὐτοβαφῶν καὶ θεϊκῶν χρωμάτων*
5 *ἢ μὴν προφήτην Μωϋσῆν εὑρὼν νέον*
*τὸ ξύλον εἰσδὺς ὡς βάτον λαλεῖν θέλεις·*
*ἢ μὴν δι' ἡμᾶς ὡς δι' Αὔγαρον πάλαι*
*τὸ ξύλον εὑρὼν ἀπομάττῃ τὸν τύπον,*
*ὡς ἂν τρίτον μόρφωμα τῆς σῆς ἰδέας*
10 *λινοῦν, κεραμεοῦν καὶ ξύλινον τυγχάνῃ.*
*ἔδει γὰρ ἴσως τὸν ταθέντα σε ξύλῳ*
*κἂν τῷ ξύλῳ νῦν ἐμφανισθῆναι πάλιν.*

(Ἔκδοσις Hörandner, σ. 447)

VIII. Ἰωάννης ὁ Μαυρόπους μητροπ. Εὐχαΐτων (μέσα ια' αἰ.)

**Εἰς τὸν ἀρχάγγελον Μιχαὴλ**

*Φῶς, πνεῦμα καὶ πῦρ οἴδαμεν τοὺς ἀγγέλους*
*παντὸς πάχους τε καὶ πάθους ὑπερτέρους.*

(P. de Lagarde, σ. 11)

IX. Χριστόφορος Μυτιληναῖος

**Εἰς τὸν ζωγράφον Μύρωνα ζωγραφοῦντα τὴν εἰκόνα Μιχαὴλ**

*Εἰ τοῦ Μιχαὴλ τὴν θέαν γράφεις μόνον,*
*ὤχραν τάραττε καὶ χρόας ἄλλας τρίβε·*
*εἰ δ' ἀρετὴν σύμπασαν αὐτοῦ σὺν θέᾳ,*
*ἔμπνουν ἀναστήλωσον αὐτόν, εἰ δύνῃ.*
*Σὺν ἀρετῇ γὰρ τοῦτον ἄλλως οὐ γράφεις,*
*τὸν ἀρετῆς ἔμψυχον ὄντα πυξίον.*

(Kurtz, σ. 75, ἀρ. 192)

X. Ἀνώνυμος

**Εἰκὼν τοῦ Χριστοῦ ἐν τῇ Χαλκῇ πύλῃ τοῦ Παλατίου**

*Ἣν καθεῖλε πάλαι Λέων ὁ δεσπόζων*

ἐνταῦθα ἀνεστήλωσεν [ἡ] Εἰρήνη.
(PG 108, 103 B, Βίος Λέοντος Ἀρμενίου)

XI. Ἰωάννης Ἀπόκαυκος (1160; - 1233)

**Εἰς εἰκόνα Χαιρετισμόν, ἱστορηθεῖσαν καὶ κοσμηθεῖσαν παρά τινος, οὗ ὁ ὀφθαλμὸς ἔπαθε λευκώματι.**

Ὁ ὀφθαλμός ἐστιν ἥλιος τῆς ἡμέρας,
νυκτὸς σελήνη, νὺξ δὲ καὶ βροτῶν βίος.
Καὶ τὴν Σελήνην εὗρον, ἣν ἔγραψά σε,
πολλῶν ῥυσαμένην με τῶν προσκομμάτων
5 εἰς τὸν σκοτεινὸν τοῦτον ὃν τρέχω βίον·
πλὴν ἀντὶ πασῶν σῶν, Σελήνη, λαμπάδων
γράφω Σε καὶ κοσμῶ Σε καὶ τίθημί Σε
εἰς νυκτὸς ἀρχὰς τῆς ἐμῆς ὀφθαλμίας·
τὸν Ἄγγελον δὲ πρὸ προσώπου Σου γράφω
10 τὴν σύνοδον δηλοῦντά Σοι τοῦ Φωσφόρου.
Ἥλιε Χριστὲ καὶ Σελήνη Παρθένε,
ἀκτῖνα διπλῆν ἐξαναλάμψατέ μοι
ὄμματος εἰς φῶς, εἰς μετανοίας λύχνον.
Ἀθηνᾶ ΙΕ', 1903, σσ. 468 - 469 (Ἀ. Π. Κεραμεὺς)

XII. Μιχαὴλ ὁ Σύγκελλος ὁ Περσογενὴς πατριάρχης Κωνσταντινουπόλεως (4 Ἰανουαρίου 846)[1]

I

(41) Γραπτὸν ἐν εἰκόνι σόν, Παρθένε, κάλλος
πνεύματος εὐαγέος φέγγεσι λάμπει.
Ἱερὴν θεὸν τεκούσης | Μαρίης κόρης ἀνάσσης
πάλιν εἰκόνα πρεπόντως | μάλα προσκυνῶ, φιλῶ τε.

II

(47) Ἀγγελικὰς ποθέων εἰκόνας αἴνους
ἐν μελέεσσι χαρῶν ἔμπλεος ᾄδω.
Καθαρῶν ἀσωμάτων τε | πάλιν Ἀγγέλων γεραίρω
ἁγίους τύπους φανέντων | σάφα σωμάτων ἐν εἴδει.

1. Die byzantinischen Anakreonteen von Theodor Nissen, München 1940, σσ. 50 - 52. P. Cantarella, Poeti Bizantini, I, Milano 1948, σ. 124.



III

(53) Οὐρανόθεν καταβὰν Πνεῦμα Θεοῖο
οἷα πέλειαν ὁρῶν εἰκόνα χαίρω.

IV[1]

(1) Ἀθανάτοιο Λόγου σώματος εἶδος,
ὃ βροτέην γενέθλην ἕσσατο μέλπω
. . . . . . . . . . . . . . .
(13) Γενεῇ τεὴν ἰδοῦσῃ | ἰδέην ἀφεὶς τὰ ῥεῖθρα
ἔβρυσας βροτοῖς ἐάων, | πόθον ἔμβαλες χαράττειν·
Διὰ πνεύματος δὲ θείου | πρὸς Ἀποστόλων λαβοῦσα
(20) ἀγορὴ θεησεβοῦσα | ἔθος εὐαγὲς κατέσχεν.
. . . . . . . . . . . . . . . . . . .
(23) Ἐν ὅλοις δόμοισι σεῖο | διὰ χρώμασιν τυποῦται
(30) ἐφ' ὅλην, ἄναρχε, γαίην | σοφίη βίου παθῶν τε.
. . . . . . . . . . . . . . . . . . . . . .
(35) Ἀπερίγραφος πέλων γὰρ | περιγραπτὸς ἄμμιν ὤφθης.

XIII. Μανουὴλ Φιλῆς (1275 - 1345;)

**Εἰς κηρόχυτον εἰκόνα τοῦ Ἀρχιστρατήγου**

Τὸ πλὴν ὕλης πῦρ, τὴν ἀεὶ ζῶσαν φλόγα
τὸ δεύτερον φῶς ἐξ ὑγρᾶς ὕλης γράφειν
ὁ δημιουργὸς τῆς γραφῆς πῶς ἰσχύεις;
Καὶ ταῦτα κηρὸν ἀκριβῶς ὑπεκχέας,
5 εἰς πῦρ δὲ κινῶν τῆς γραφίδος τὰς τρίχας
πῶς οὐδὲ ταύτας ἀδρανεῖς οὔσας φλέγεις;
Μὴ πῦρ ὅλον φῶς ἡ γραφὶς ἔγραψέ σοι;
(Carmina, Müller, τ. II, σσ. 287 - 288)

1. Th. Nissen, ἔνθ' ἀνωτ., σσ. 48-49.

# Ε'

## ΑΓΙΟΙ ΖΩΓΡΑΦΟΥΜΕΝΟΙ

(ζῶντες ἢ νεκροὶ)

### ΟΙ ΠΡΩΤΟΙ ΙΣΤΟΡΗΣΑΝΤΕΣ ΙΕΡΑ ΠΡΟΣΩΠΑ

Ι. Ψ.Γρηγόριος Β' πάπας Ῥώμης πρὸς Λέοντα βασιλέα τὸν Ἴσαυρον.

*Ἰδόντες τὸν Κύριον, καθὼς εἶδον ἱστορήσαντες ἐζωγράφησαν. Καθὼς εἶδον τὴν Μητέρα τοῦ Κυρίου ἱστορήσαντες ἐζωγράφησαν. Ἰδόντες Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου, καθὼς εἶδον αὐτὸν ἱστορήσαντες ἐζωγράφησαν... Καὶ κατ' ἔπος ἰδόντες τὰ πρόσωπα τῶν μαρτύρων τῶν ἐκχυσάντων τὸ αἷμα ὑπὲρ Χριστοῦ ἐζωγράφησαν. Καὶ θεωρήσαντες λοιπὸν ἐν ὅλῳ τῷ κόσμῳ οἱ ἄνθρωποι, ἀφέντες τὰς προσκυνήσεις τοῦ διαβόλου* (sc. τὰ εἴδωλα), *ταύτας προσεκύνησαν* (τὰς εἰκόνας Χριστοῦ, Θεοτόκου, Ἀποστόλων).

[Α'] Ἐπιστολὴ τοῦ πάπα Γρηγορίου Β' πρὸς τὸν βασιλέα Λέοντα Γ' τὸν Ἴσαυρον. Jean Gouillard, Travaux et Mémoires 3, 1968, σσ. 283 - 285, στίχοι 95 - 97).

### ΙΙ. ΑΓΙΟΛΟΓΙΚΑΙ ΜΑΡΤΥΡΙΑΙ

Εἰκὼν μάρτυρος (ζώσης)

*Ἡ δὲ* (Φαῦστα) *ἁγία εἶπεν· Ἄκουσον ἐμοῦ, Εὐιλάσιε, καὶ ποίησον εἰκόνα ἔχουσαν χαρακτῆρα τὸν ἐμόν· καὶ φέρε πάντα τὰ κολαστήρια καὶ γραφήτω καὶ αὐτὰ ἐν τῇ εἰκόνι. Καὶ τούτου γενομένου, λέγει ἡ ἁγία· Ὥσπερ ἡ εἰκών μου αὕτη οὐκ αἰσθάνεται τῶν βασάνων, οὕτως οὐδὲ τὸ σῶμά μου· ἡ γὰρ ψυχή μου ἐστήρικται ἐν Κυρίῳ.*

Μαρτύριον τῆς ἁγίας Φαύστης καὶ τῶν σὺν αὐτῇ (Εὐιλασίου καὶ Εὐσεβίου) [BHG 658a], An. Boll. 102, 1984, σ. 289 (F. Halkin).

### ΙΙΙ. ΕΙΚΟΝΕΣ ΠΑΤΡΙΑΡΧΟΥ ΕΝ ΝΑΟΙΣ

Ἀκακίου Κωνσταντινουπόλεως (471/2 - 489)

*Ἀκάκιος ὁ Κωνσταντινουπόλεως ὢν ἀρχικὸς καὶ πάσας τὰς ἐκκλησίας ὑφ' ἑαυτὸν ποιήσας πεφροντισμένως τῶν ἐν αὐταῖς κεκληρωμένων ἐποιεῖτο τὴν κηδεμονίαν. Οἳ εὐχαριστοῦντες ἐν γραφαῖς ἀνέθηκαν αὐτὸν κατὰ τοὺς εὐκτηρίους οἴκους. ἐπείπερ οὖν ἀθρόον ἐν πάσαις*





*ταῖς ἐκκλησίαις ἐδείχθησαν αὐτοῦ εἰκόνες, φήθησάν τινες κενοδοξοῦντα τὴν ἀνάθεσιν προστεταχέναι οὐ μικρὰν ἔχοντες τῆς ὑπονοίας πίστωσιν, τὴν ἐκ ψηφίδων γραφὴν δημιουργηθεῖσαν ἐν τῇ πρὸς τῷ νεωρίῳ ἐκκλησίᾳ... ἐκ τῶν τοιούτων οὖν εἰκόνων Ἀκάκιος, εἰ καὶ εὐμετάδοτος ἦν καὶ προστατικός, ἀλλὰ δοξομανὴς πᾶσιν ἔδοξεν ὑπάρχειν.*

Σοῦδα, λ. Ἀκάκιος Ι, σ. 74,$_{5-30}$ (Adler) = Malco di Filadelfia, Frammenti a cura di Lia Raffaella Cresci, σ. 74,$_{8-30}$ (σχόλια, αὐτόθι, σσ. 170 - 172).

### IV. ΕΙΚΟΝΕΣ ΟΣΙΟΥ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΑΘΩΝΙΤΟΥ

Α'

Ἐκ τοῦ Βίου τοῦ ὁσίου πατρὸς

78. *Κοσμᾶς ὁ ποτὲ τῆς Λαύρας ἐκκλησιάρχης, εἰώθει, ὅτε τῇ βασιλευούσῃ διά τινα χρείαν ἐπεδήμει, παραβάλλειν τῇ τοῦ Παναγίου μονῇ διὰ τὸ ταύτης καθηγεμόνα τυγχάνειν τὸν μοναχὸν Ἀντώνιον τὸν γνησιώτατον μαθητὴν τοῦ ἁγίου ἡμῶν πατρός. Ἀπελθὼν οὖν ποτε ἐκεῖσε, εἶδεν εἰκόνα τοῦ μεγάλου πατρὸς ἀπαράλλακτον οὖσαν ἐκτύπωμα τῆς ἁγίας ἐκείνου μορφῆς καὶ παρεκάλει τοῦτον δοῦναι ταύτην αὐτῷ. Ὁ δὲ Ἀντώνιος ἐκ πόθου ταύτην καὶ πίστεως πολλῆς κτησάμενος, «ἀδύνατον» ἔλεγεν «ἀδελφέ, ὅλως στερηθῆναί με ταύτης». Ὁ δὲ ἐπέκειτο αἰτούμενος ταύτην, αὐτὸν τὸν ἅγιον ἀντὶ μεσίτου προβαλλόμενος· καὶ τέλος ἐκβιάζεται τοῦτον, τῇ συνεχείᾳ τῆς αἰτήσεως, ἐκβῆναι τῆς οἰκείας προθέσεως καὶ συνθέσθαι τούτῳ παρασχεῖν ταύτην. «Πλὴν» ἔλεγεν «εἰ βούλει τοῦ ποθουμένου τυχεῖν, μεῖνον ἄχρι τριῶν ἡμερῶν, ὡς ἄν, ἀρχετύπῳ ταύτῃ χρησάμενοι, ἑτέραν ἐξεργασώμεθα, καὶ μετὰ τοῦτο παρέξομέν σοι ταύτην ἀλύπως», πείθεται τούτοις ὁ γέρων καὶ μένει τὴν προθεσμίαν. Ὁ δὲ μοναχὸς Ἀντώνιος, περὶ τοὺς ἑωθινοὺς ὕμνους ἀναστάς, ἄπεισι πρὸς τὸν τῆς εἰκόνος ἐργάτην ὄνομα Παντολέοντα, καὶ τὰ τοῦ πράγματος εἰσηγεῖται καὶ πρὸς ἔργον ἐπείγει. Καὶ «εἴ μοι βούλει» φησὶ «ποτὲ καταθέσθαι χάριν, μὴ ἀποκνήσῃς ἐργάσασθαί μοι ὁμοίαν ταύτης εἰκόνα· πλὴν μὴ βραδέως· τοῦτο γὰρ ἡ χάρις». Ὁ δὲ Παντολέων πρὸς τὴν πολλὴν τούτου ἔπειξιν ἐδυσχέραινε, καὶ «ἵνα τί» ἔλεγε «πάτερ, σὺ αὐτὸς παραγέγονας πρὸς ἡμᾶς; Ἀφοῦ γὰρ χθὲς περὶ δείλην ὀψίαν ἐμηνύθη μοι τὰ τοῦ πράγματος διὰ τοῦ σοῦ μαθητοῦ, πᾶν εἴ τι πρὸς τοῦτο φέρει τὸ ἔργον ἡτοίμασα, καὶ ἰδοὺ ὡς ὁρᾷς μέλλω τούτου κατάρξασθαι». Ὁ δὲ ἔκπληκτος γέγονε, μὴ συνιεὶς τῶν λεγομένων τὴν δύναμιν, καὶ τὸν ἀδελφόν, ὃν ὁ Παντολέων ἔλεγε χθὲς παραγενέσθαι ἐκεῖ παρόντα πρὸς πίστιν ἐκάλει· ὁ δὲ καὶ αὐτὸς ἠρνεῖτο παντελῶς τὴν ἄφιξιν. Ἔγνωσαν οὖν ἅπαντες, ὅτι ἐπισκίασις ἦν τοῦ ἁγίου. Ἐντὸς οὖν τριῶν ἡμερῶν, ἑτέρας ἀντιτύπου γενομένης, ἔλαβεν ὁ μοναχὸς Κοσμᾶς τὴν πρωτότυπον μετὰ θαύματος ὅτι πολλοῦ καὶ πρὸς τὴν ἁγίαν Λαύραν ἤνεγκεν, ἐκδιηγούμενος*

*πᾶσι τοῖς ἀδελφοῖς τὴν γενομένην τοῦ ἁγίου θαυματουργίαν· ἥτις καὶ μέχρι τῆς σήμερον προσκυνεῖται παρὰ πάντων ἐν τῷ ἁγίῳ αὐτοῦ τάφῳ, τὸν ἀκριβῆ χαρακτῆρα τῆς ἁγίας αὐτοῦ μορφῆς ἀποσῴζουσα*[1].

B′

Κανὼν εἰς τὸν ὅσιον Ἀθανάσιον τὸν Ἀθωνίτην

Ὠδὴ θ′, τροπ.

*Ὁρῶντές σου τὸν τύπον,*
*πάτερ, τῆς εἰκόνος*
*σὲ καθορᾶν προσδοκῶμεν οἱ δοῦλοί σου*
*καὶ προσκυνοῦντες ἐν πίστει κατασπαζόμεθα*[2].

## V. ΒΙΟΣ ΑΓΙΟΥ ΣΥΜΕΩΝ ΤΟΥ ΣΤΥΛΙΤΟΥ ΤΟΥ ΝΕΟΥ (521 - 592)

*Συνέβη δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἄνδρα τινὰ ἀγοραῖον* | (σ. 140:) *τῆς πόλεως Ἀντιοχείας συνοχῇ δεινῇ κατέχεσθαι ὑπὸ δαίμονος πονηροῦ καὶ στενοχωρεῖσθαι ἐπὶ χρόνους, ὥστε καταπνίγεσθαι αὐτὸν ὑπ᾽ αὐτοῦ, σφιγγομένων τῶν πνοϊκῶν αὐτοῦ.*

*Οὗτος ἀνελθὼν πρὸς τὸν ἅγιον καὶ τυχὼν ἰάσεως ταῖς αὐτοῦ πρεσβείαις καὶ γενόμενος ὡς μηδὲν κακὸν πεπονθὼς καὶ ἐπανελθὼν εἰς τὸν ἴδιον οἶκον, κατ᾽ εὐχαριστίαν ἀνέστησεν αὐτῷ εἰκόνα ἐν δημοσίῳ καὶ ἐμφανεῖ τῆς πόλεως τόπῳ, ἐπάνω τῶν θυρῶν τοῦ ἐργαστηρίου αὐτοῦ.*

*Ἰδόντες δὲ αὐτήν τινες τῶν ἀπίστων οὕτως ἐντίμως μετὰ φώτων καὶ βήλων δοξαζομένην, καὶ πλησθέντες ζήλου, συνετάραξαν τοὺς ὁμοίους αὐτῶν, ὥστε συνελθεῖν πλῆθος καὶ ἐνταράχως κράζειν· «Αἶρε τοῦ ζῆν τὸν τοῦτο πεποιηκότα καὶ ἡ εἰκὼν καταβληθήτω ...». Ἡ γὰρ κακία αὐτῶν πολλὴ καὶ μεγάλη καὶ ὁ φθόνος ἄμετρος· ὑφ᾽ οὗ καὶ ἐνεργούμενοι εἰς τοῦτο συνεληλύθεισαν, καιρὸν νομίσαντες εὑρεῖν καταστασιάσαι καὶ καθυβρίσαι τὸν ἅγιον, ὡς πολλάκις ἐλέγξαντα τὴν κακοπιστίαν καὶ πλάνην τῶν ἐν αὐτοῖς ἑλληνιζόντων.*

*Ὡς οὖν οὐκ ἠδύναντο φέρειν τὴν τοσαύτην μανίαν, ἐπέτρεψαν ἑνὶ τῶν στρατιωτῶν ἀνελθεῖν ἐν ἀναβαθμοῖς καὶ ῥῖψαι τὴν εἰκόνα. Ἀνελθὼν δὲ ἐκεῖνος καὶ ἐκτείνας τὰς χεῖρας τοῦ ποιῆσαι τὸ προσταχθέν, εὐθέως ἀπερράγη ἄνωθεν κάτω καταπεσὼν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο θόρυβος μέγας εἰς τὸν ὄχλον, καὶ προσέθεντο ἐξαφθέντες ἄλλον*|(σ. 141:) *ἀναγαγεῖν καὶ ἐκτείνας*

1. An. Boll. 25, 1906, σσ. 85 - 87, § 78 (L. Petit) = σσ. 211-212 (Noret, 1982).
2. ΕΕΒΣ 32, 1963, σσ. 312 - 313 (Ἀθ. Κομίνης).



*κἀκεῖνος τὰς χεῖρας αὐτοῦ κατασῦραι αὐτήν, ὡσαύτως ἀπερράγη ἐπὶ τὴν γῆν. Καὶ τούτου γενομένου, φοβηθέντες πάντες ἤρξαντο τὴν σφραγῖδα τοῦ Σταυροῦ* (*σταύρου* editor) *περιάπτειν ἑαυτοῖς. Ἐπὶ πλέον δὲ μεμηνότες οἱ ἄπιστοι ἐκεῖνοι προσέθεντο καὶ τρίτον ἀνενέγκαι ἐπὶ τούτῳ, καὶ ὡς ἐξέτεινε καὶ αὐτὸς τὰς χεῖρας τοῦ ῥῖψαι τὴν εἰκόνα, ὁμοίως καὶ αὐτὸς κατερράγη εἰς τὴν γῆν. Τότε φόβος μέγας ἐπῆλθεν ἐπὶ πάντας τοὺς περιεστῶτας πιστούς, οἳ καὶ ἐκπληττόμενοι ἐπὶ τῇ πωρώσει καὶ τόλμῃ τῶν ἀπίστων καὶ ἀνοσίων ἐκείνων ἀνδρῶν καὶ προσκυνοῦντες μετὰ προσευχῆς τῇ εἰκόνι ἀνεχώρουν*[1].

## VI. ΒΙΟΣ ΟΣΙΟΥ ΘΕΟΔΩΡΟΥ (ΣΥΚΕΩΝ)

χρηματίσαντος ἐπισκόπου Ἀναστουπόλεως (ἀρχαὶ ζ′ αἰ.), Ἀπριλίου 22 613† [2]

129: *Ὅθεν καὶ οἱ τῆς μονῆς πάντες ἅμα τῷ θεοφιλεστάτῳ αὐτῶν ἡγουμένῳ Χριστοφόρῳ, πίστει πρὸς αὐτὸν διακείμενοι, ἐπόθησαν τὸ ὁμοίωμα τοῦ προσώπου αὐτοῦ λαβεῖν καὶ στῆσαι αὐτὸ ἐν τῇ μονῇ αὐτῶν, μνήμης αὐτοῦ διηνεκοῦς χάριν, ἐπὶ οἰκείᾳ αὐτῶν εὐλογίᾳ. Καὶ καλέσαντες ζωγράφον ἐποίησαν αὐτὸν διὰ ὀπῆς μικρᾶς θεωρεῖν τὸν ὅσιον, ἵνα σημειούμενος τὸ εἶδος τοῦ προσώπου καθ᾽ ὁμοίωσιν γράψῃ αὐτόν. Ὃ καὶ ἐπετελέσθη κατὰ τὴν πίστιν αὐτῶν, ὁμοίωμα γράψαντος αὐτοῦ. Πρὸ τοῦ οὖν τοῦ ἀποδρᾶσαι αὐτὸν* (sc. τὸν ζωγράφον) *ἐποίησαν αὐτὸν εἰσελθεῖν καὶ εὐλογηθῆναι τὸ ὁμοίωμα αὐτοῦ παρ᾽ αὐτοῦ* (τοῦ ὁσίου). *Αὐτὸς δὲ σεμνὸν αὐτῷ προσμειδιάσας ἔλεγεν: Σὺ παγκλέπτης εἶ καὶ τί ποιεῖς ὧδε, εἰμὴ ἵνα τίποτε κλέψῃς! Καὶ εὐλογήσας αὐτὸ ἀπέλυσε.*

## VII. ΛΕΟΝΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ († 1190)

εἰκών, νεκροῦ ζωγραφουμένου[3]

σ. 432: *Τέως δ᾽ ἐπὶ σκίμποδος προτεθειμένου καὶ τῶν ἐπικηδείων ᾀσμάτων ἐπ᾽ αὐτῷ ᾀδομένων παρὰ παντὸς σχεδὸν τοῦ τῆς Βυζαντίδος ἱερωμένου κληρώματος, ἐδέησε τοῖς ποτὲ μαθητευομένοις αὐτῷ, καὶ αὐτῷ δὴ τῷ πρὸ μικροῦ ῥηθέντι Εὐλογίῳ, διά τινος τῶν γραφέων εὖ εἰδότος διὰ τῆς γρα-*

1. La vie ancienne de S. Syméon Stylite le Jeune (521 - 592) publiée par Paul Van den Ven, tome Ier, Bruxelles 1962 (Subsidia Hagiographica, N° 32), σσ. 139 - 141, § 158.
2. Vie de Théodore Sykeôn. I Texte grec établi par André-Jean Festugière, O.P., Bruxelles 1970 (Subsidia Hagiographica), N° 48, σσ. 109 - 110.
3. Βίος Λεοντίου Ἱεροσολύμων, ἐν Μανουὴλ Χρυσοκεφάλου Λόγοι Πανηγυρικοὶ ΙΔ′, ἐν Κοσμοπόλει (= Βιέννη).

*φικῆς τοὺς τῶν ὧν ἐθέλει χαρακτῆρας ἐν σανίσιν ἀπομάττεσθαι, καὶ αὐτοῦ ὡς ἕνι τὸ εἶδος διὰ τῆς τέχνης ἀπομάξασθαι. Τὸ γὰρ γέρας ἐστὶ θανόντων, ὥς ἔφησέ τις. Ὁ δ' ἀποστάδην στὰς τοῦ συνέχοντος αὐτὸν* (τὸν Λεόντιον νεκρὸν) *σκίμποδος, καὶ διὰ τῆς θέας ἀρξάμενος αὐτὸν ἀπομάττεσθαι καὶ αὖθις προσιὼν τῷ σκίμποδι κατ' εὐθὺ καὶ στήκων ἔγγιστα καὶ δεξιόθεν τοῦτον* (τὸν Λεόντιον) *περιβλεπόμενος, καὶ ἐξ ἀριστερῶν εἰσέπειτα, ὡς τὸ εἶδος δῆθεν αὐτοῦ ἀκριβώσοιτο, ἔλαθεν ἑαυτὸν κάμνων ἀνήνυτα! Μηδὲ γὰρ διὰ πάσης τῆς αὐτοῦ βιοτῆς* (ὁ Λεόντιος) *εἰκόνα αὐτῷ ἐγχαραχθῆναι καταδεξάμενος, οὐδ' ἀπελθὼν τῶν τῇδε τοῦτο κατένευσε. Διὰ τοῦτο ἄλλος καὶ ἄλλος καὶ ἑτεροῖος ὡσαύτως καὶ ἑτεροῖος τῷ δοκιμάζοντι γραφῇ* (-εῖ editor) *αὐτὸν ἐναπομάξασθαι κατεφαίνετο. Ὢ τοῦ θαύματος...*

### VIII. ΑΓΙΟΣ ΣΑΒΑΣ Ο ΝΕΟΣ († 1349)

Εἰκονογραφούμενος ἐν Κύπρῳ πρὸ τοῦ 1310[1]

*Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων τοσοῦτον τὸ περὶ αὐτὸν φίλτρον συνέστη τὸ τηνικαῦτα Κυπρίοις, καὶ οὕτως ἐπὶ μέγα προῆλθε λαμπρότητος, ὡς μὴ τὰ προρρηθέντα μόνον μεθ' ὅσης τῆς ἡδονῆς πάσχειν περὶ αὐτόν, ἀλλὰ καὶ σανίσι καὶ πίναξί τισιν ἐγχαράττοντες αὐτοῦ τὴν εἰκόνα, λαμπάσι κατ' οἴκους τιμᾶν καὶ μύροις καὶ θυμιάμασι καὶ τοῖς ἄλλοις, οἷς εὐσεβεῖς ψυχαὶ τὸ θεῖον καὶ τοὺς ἐκείνου θεραπευτὰς θεραπεύουσιν, οἱ δὲ καὶ τῶν τραχήλων ἐκείνην* (sc. τὴν εἰκόνα) *ἐγκόλπιον ἐξαρτήσαντες ὥς τινα θώρακα πολεμικὸν καὶ φυλακτήριον ἀσφαλές, πανταχοῦ μετὰ πολλῆς τῆς πίστεως περιέφερον... Ἦν δὲ καὶ τὴν ἔντευξιν ἱλαρώτατος καὶ τὴν ὄψιν ἥδιστός τε καὶ χαριέστατος*[2].

1. Φιλοθέου Κοκκίνου Βίος ἁγίου Σάβα νεωτέρου, Ἀθ. Παπαδοπούλου Κεραμέως, ΑΙΣ Ε', 1888, σσ. $240_{,35}$—$241_{,10}$ (ἔκδ. Δ. Τάμη, Θεσσαλονίκη 1985, σ. $224_{,1-13}$).

2. Ὁ Δ. Γ. Τσάμης, Εἰκονογραφικὲς μαρτυρίες γιὰ τὸν ἅγιο Φιλόθεο Κόκκινο πατριάρχη Κωνσταντινουπόλεως, ΕΕΘΣΠΘ 22, 1977, σσ. 37-51, ὑποθέτει ὅτι ἡ εἰκὼν τοῦ ἁγίου Φιλοθέου εἰς τὴν μονὴν Resuva τῆς Σερβίας, φιλοτεχνηθεῖσα 30 περίπου ἔτη μετὰ τὴν κοίμησίν του (1379), ἀναπαρέστησε πολὺ ἢ ὀλίγον τὰ πραγματικά του χαρακτηριστικά.



ς'

## ΟΡΟΙ ΕΙΚΟΝΟΓΡΑΦΙΚΟΙ

### I. ΓΡΑΦΗ, ΓΡΑΦΕΥΣ, (ΜΕΤΑ)ΓΡΑΦΩ, ΖΩΓΡΑΦΟΣ ΕΙΚΟΝΟΓΡΑΦΩ, ΕΙΚΟΝΟΓΡΑΦΙΑ

*1.* (Βασίλισσα Θεοδώρα) *Ζωγράφον αὐτῇ αὐτίκα ἀχθῆναι προστάττει καὶ ἐν τῇ πρὸς ἀνατολὰς ἀψῖδι γραφῆναι τὴν ἁγνὴν Θεομήτορα, τὴν τοῦ Γένους ἡμῶν δηλονότι μεσῖτιν καὶ σώτειραν. Γραφομένης οὖν τῆς εἰκόνος, καὶ ἤδη πρὸς πέρας τοῦ ἔργου βλέποντος, ὡς τῇ ὑστεραίᾳ ὁ γράφων παρεγένετο, ᾗ καὶ πέρας ἐπιθήσειν τῇ γραφῇ ἐβουλεύετο... ὁρᾷ γραφὴν ἑτέραν καὶ οὐ τὴν αὐτήν, πολὺ τὸ διάφορον ἔχουσαν καὶ παρηλλαγμένον ἀπὸ τῆς ὁμοιότητος, ἐν εἴδει* (= προσώπῳ) *ἀνδρικῷ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ νεφέλης φωτεινῆς καὶ ἐπὶ πτερύγων ἀνέμων ὀχούμενον καὶ περιπατοῦντα, ὡς ὁ θεῖος ψάλλει Δαυΐδ...* (ἕπεται περιγραφή... προφῆται Ἰεζεκιὴλ καὶ Ἀββακούμ)... *Ταῦτ' ἰδὼν ὁ γραφεὺς καὶ ἀφασίᾳ συσχεθείς, διά τινος τοῦτο τῇ Θεοδώρᾳ δηλοῖ. ἡ δὲ... ὡς εἶχεν εὐθὺς παραγενομένη... ἐνετείλατο τῷ γραφεῖ μηδόλως αὐτῷ ἔτι τὴν χεῖρα ἐπενεγκεῖν...* Ἀθ. Παπαδοπούλου Κεραμέως, Varia Graeca Sacra, 1909, σσ. $107_{,3}$ - $108_{,3}$ (Ἰγνατίου, ἡγουμένου Ἀκαπνίου, Διήγησις Ἐπωφελής...).

*2. Καί πως δοκεῖ τὸ καθ' ἡμᾶς τῷ τῶν ζωγράφων προσεοικέναι. Καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν εἰκόνων μεταγράφωσι τὰς εἰκόνας* (ὅταν δὲν ζωγραφίζουν ἐκ τοῦ φυσικοῦ, ἀλλ' ἔχοντες ὡς πρότυπον ἄλλην εἰκόνα), *πλεῖστον, ὡς εἰκός, τῶν ἀρχετύπων ἀπολιμπάνονται,* Μέγας Βασίλειος, Migne, PG 31, 493.

*3. Τοῖς... τὰς ὀφθείσας αὐτοῖς εἰκονογραφίας, ὢ θαῦμα, καὶ πρὸ σαρκώσεως τοῦ Λόγου μὴ καταδεχομένοις,... εἰκονογραφεῖν δὲ ἐνανθρωπήσαντα τὸν Λόγον καὶ τὰ ὑπὲρ ἡμῶν αὐτοῦ πάθη οὐκ ἀνεχομένοις* (θεομάχοις αἱρετικοῖς) *ἀνάθεμα.*

Συνοδικὸν τῆς Ὀρθοδοξίας, (Jean Gouillard) Travaux et Mémoires 2, 1967, σ. $55_{,145-150}$.

### II. ΑΠΕΙΚΟΝΙΣΜΑ, ΙΕΡΟΓΡΑΦΙΑ, ΙΕΡΟΤΥΠΙΑ, ΕΚΤΥΠΩΜΑ, ΧΑΡΑΚΤΗΡ (= ΕΙΚΟΝΕΣ)

1. *Καὶ γὰρ ἀπεχθανόμενος ταῖς ἱερογραφίαις | καὶ τοῖς ἀπεικονίσμασι Χριστοῦ καὶ τῶν μαρτύρων, | τοὺς ἀπονέμοντας αὐ-*

*τοῖς τὸ κατὰ σχέσιν σέβας | ἀνυποφόροις καὶ δειναῖς στρεβλώσεσιν ἐκάκου.*
(Κ. Μ α ν α σ σ ῆ ς, Σύνοψις Χρονική, 4788 - 4791, Niebuhr).
2. *Τὴν τῶν σεπτῶν εἰκόνων* (ὁ Νικηφόρος) *ἐπιβοήσας καὶ τρανώσας ἀρ-*
*χαϊκὴν ἱ ε ρ ο γ ρ α φ ί α ν τε καὶ προσκύνησιν* (= παλαιὰν ἱερὰν παράδοσιν).
Βίος Νικηφόρου Κωνσταντινουπόλεως ὑπὸ 'Ι γ ν α τ ί ο υ διακόνου, σ.
$146_{,26-27}$ (de Boor).
3. (Αὐτόθι, σ. $147_{,6}$:) *ἱ ε ρ ο τ υ π ί α.*
4. *Οὐ τῇ ὕλῃ τοῦ εὐαγγελίου, οὐδὲ τῇ τοῦ Σταυροῦ ὕλῃ προσκυνοῦμεν*
*ἀλλὰ τῷ ἐ κ τ υ π ώ μ α τ ι* ('Ι ω ά ν ν η ς Δαμασκηνός, Περὶ εἰκόνων).
5. (Τὴν 'Εκκλησίαν) *Εὐαγγελικῶς πεποικιλμένην τοῖς ἱ ε ρ ο ῖ ς καὶ*
*σεμνοῖς* (= ἀξίοις σεβάζεσθαι) *ἐ κ τ υ π ώ μ α σ ι ν.*
('Ι γ ν ά τ ι ο ς, διάκονος, ἐν τῷ Βίῳ Νικηφόρου, ἔνθ' ἀνωτ., σ. $155_{,27-28}$).
6. ...*μηδὲ τοῦ ἱεροῦ ἐκείνου ἐ κ τ υ π ώ μ α τ ο ς τὸ σύνολον ἅψασθαι.*
*Καὶ ἦν οὕτως ἔκτοτε τὸ θεῖον ἐ κ τ ύ π ω μ α τοῦτο θεραπεύουσα καὶ τιμῶ-*
*σα... μηδὲν δυνηθέντος τοῦ πυρὸς λυμήνασθαι κατά τι τὸ ἱερὸν ἐκεῖνο τοῦ*
*Σωτῆρος ἐ κ τ ύ π ω μ α* (σσ. $108_{,1-6}$, $109_{,21-22}$). *'Ο δὲ ἱερὸς ἐκεῖνος τοῦ*
*Χριστοῦ χ α ρ α κ τ ὴ ρ δίκην ἡλίου... ἀνεφάνη* (σ. $111_{,30-32}$).
Διήγησις 'Επωφελὴς περὶ τῆς θ ε α ν δ ρ ι κ ῆ ς ε ἰ κ ό ν ο ς τοῦ Κυ-
ρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, φανερωθείσης ἐν τῇ κατὰ Θεσσαλονίκην μονῇ
τῶν Λατόμων, συγγραφεῖσα παρὰ 'Ι γ ν α τ ί ο υ καθηγουμένου 'Ακαπνίου,
'Α θ. Π α π α δ ο π ο ύ λ ο υ Κ ε ρ α μ έ ω ς, Varia Graeca Sacra, S.
Peterburg 1909, σσ. 102 - 113 passim.
7. *Τὰ λείψανα καὶ ε ἰ κ ο ν ί σ μ α τ α* (αἱ ἀπεικονίσεις) *τῶν Μαρτύρων*
*ἀξίως προσκυνείσθωσαν.*
Τροπάριον δ' ᾠδῆς Λιτανείας 'Ορθοδοξίας (TR 235).

## III. ΛΕΙΟΓΡΑΦΙΑ, ΥΛΟΓΡΑΦΙΑ καὶ ἄλλοι ὅροι

1. *Λειογραφία*, λ. γνωστὴ εἰς τὰ Λεξικὰ σημαίνει τὴν *γραφὴν* (ζωγρα-
φίαν) ἐπὶ λείας ἐπιφανείας. Πρβλ. τὸν Κ ύ ρ ι λ λ ο ν Κ υ ζ ί κ ο υ (= Κων-
σταντῖνον Στιλβῆν, μετὰ τὸ 1204), γράφοντα περὶ τῶν Λατίνων: *οἱ δὲ πλείους*
*αὐτῶν οὐδὲ τὰς ἁγίας εἰκόνας καὶ μάλιστα οἱ ἀρχιερεῖς* (αὐτῶν προσκυνοῦσιν)
*οὐδὲ γράφουσιν εἰκόνας ἁγίων, πλὴν τῆς Σταυρώσεως τοῦ Χριστοῦ καὶ ταύ-*
*την οὐδὲ διὰ λ ε ι ο γ ρ α φ ί α ς ἀνιστοροῦσιν, ἀλλὰ π ε π τ ή ν, ὥσπερ τι*
*τῶν γλυπτῶν* (RÉB 21, 1963, σ. 72, Darrouzès). 'Επομένως ἐπὶ κεράμου
ἀνωμάλου ἐπιφανείας ἀνάγλυφον, ἡ ὁποία καὶ ἐκλιβανίζετο διὰ νὰ καταστῇ
στερεά.
2. *'Υλογραφία*, *'Υλογραφικός*, *-ὴ* (γνωστὸν τὸ λῆμμα *ὑλογράφος* ἐπὶ
τοῦ τεχνίτου). *Εἰκὼν μεγάλη ὑλογραφικὴ* (στ. 1174) καὶ *ἑτέρα εἰκὼν ὑλογρα-*
*φία* (στ. 1190 καὶ ἀλλαχοῦ) εἰς τὴν Τυπικὴν Διάταξιν Μ ι χ α ὴ λ τ ο ῦ



'Α τ τ α λ ε ι ά τ ο υ (P. G a u t i e r, RÉB 39, 1981), ἀντιτίθενται πρός τε τὰς *ἐγκαύστους* εἰκόνας (βλ. στ. 1223), τὰς *χυμευτάς*, καὶ δὴ τὰς μεταλλικάς: *χρυσᾶς, ἀργυρᾶς, διαχρύσους καὶ ἀχρυσώτους* (στ. 1185, 1188, 1222), κατεσκευάσθησαν δηλονότι ἐπὶ χρωσθέντος κηρωτοῦ παννίου προσηρμοσμένου σανίδι (πρβλ. τὸν D u c a n g e, Gloss. ἐν λ. κηρόχυτος γραφή).

3. Κ λ ή μ η ς ὁ 'Α λ ε ξ α ν δ ρ ε ὺ ς (Προτρεπτικὸς IV) ἐχρησιμοποίησεν ἐπὶ ἐθνικῶν εἰδώλων τοὺς ὅρους *ἀγάλματα, ἀνδρείκελα, εἰκόνες, ἐκμαγεῖα, ξόανα*, κατὰ τὰς περιπτώσεις. 'Ως πρὸς τὴν ὕλην ἐξ ἧς κατεσκευάζοντο (ἢ καὶ ἐκοσμοῦντο): *τί δ' ἄλλο χρυσὸς ἢ ἄργυρος ἢ ἀδάμας ἢ σίδηρος ἢ χαλκὸς ἢ ἐλέφας* (= ἐλαφαντοστοῦν) *ἢ λίθοι τίμιοι; Οὐχὶ γῆ τε καὶ ἐκ γῆς;*

Καὶ 'Ι π π ό λ υ τ ο ς, Εἰς τὸν Δανιὴλ (Β', XXVII) ἔγραψε περὶ τῶν συγχρόνων του εἰδωλολατρῶν ἄλλους προσκυνεῖν *χ ρ ύ σ ε ο ν, ἑτέρους δὲ τὸν ἀ ρ γ ύ ρ ε ο ν, ἄλλους δὲ τὸν χ ά λ κ ε ο ν, τινὰς τὸν δι' ἐ λ έ φ α ν τ ο ς συγκείμενον, πολλοὺς τὸν ὀ σ τ ρ ά κ ι ν ο ν* (= κεραμεοῦν) *καὶ λίθινον σέβοντας.* 'Υπῆρξε δὲ καὶ ὅρος χ ρ υ σ ά ρ γ υ ρ ο ς (εἰκὼν ἐκ χρυσοῦ καὶ ἀργύρου). Ταὐτὸν καὶ ἀ ρ γ υ ρ ό χ ρ υ σ ο ς καὶ ἀ ρ γ υ ρ ο δ ι ά χ ρ υ σ ο ς.

## ΕΠΙΜΕΤΡΟΝ

### Α'. ΜΕΤΑΒΥΖΑΝΤΙΝΑ

#### Εἰκονογραφία ἁγίων καὶ νεομαρτύρων κατὰ παράδοσιν

Εἰκόνα βασιλέων Ἀνδρονίκου Παλαιολόγου καὶ Ἄννης ἀντιγράψας μετὰ τῶν χρωμάτων στέλλει τῷ Μαρτίνῳ Κρουσίῳ ὁ Θ. Ζυγομαλᾶς (M. Crusius, Turcograecia, σ. 75a). Τὸ 1580 ὁ Μ. Κρούσιος ἐζήτησε δι' ἐπιστολῆς του δημοσιευομένης ἐν σ. 102 μεταγράφειν: *Εἴθε εἰκόνα παλαιοῦ τινος Ῥωμαίων βασιλέως καὶ Αὐγούστης ἔχοιμι, ἅσπερ ἀκούω γεγραμμένας ὁρᾶσθαι ἐν ναοῖς παρ' ὑμῖν*... (ταύτας θ' ἀντέγραφεν ὁ Σολομὼν Sueigker (Σιωπικός!).

Οἱ νεομάρτυρες Γεώργιος Ἰωαννίνων, Κοσμᾶς ὁ Αἰτωλός, ἅγιος Ἰωάννης ὁ ἐξ Ἰωαννίνων (1526) κ.ἄ. εἰκονογραφοῦνται ὡς ἦσαν ζῶντες. Χαλκογραφίαι ἁγίων. Πρβλ. Μίλτου Γαρίδη - Θανάση Παλιούρα, Συμβολὴ στὴν εἰκονογραφία Νεομαρτύρων, Ἠπ. Χρονικὰ 22, 1980, σσ. 169 - 205 (Ἰωάννινα).

### Β'. ΠΙΝΑΚΕΣ

#### Ι. Συγγραφεῖς ἀναφερόμενοι περὶ εἰκόνων γράψαντες

Ἀγαθίας Σχολαστικός
Ἀθανασίου Ἀθωνίτου βιογράφος
Ἀκάκιος πατριάρχης ΚΠόλεως
Ἀνώνυμοι Ὑμνογράφοι
Ἀπόκαυκος βλ. Ἰωάννης
Ἀρέθας Καισαρείας ἀρχιεπ.
Ἀτταλειάτης Μιχαὴλ
Βασίλειος ὁ Μέγας
Γερμανὸς πατριάρχης ΚΠόλεως
Γρηγόριος Β' πάπας Ρώμης
Δούκας, ἱστορικὸς τῆς Ἁλώσεως
Θεόδωρος ὁ Συκεὼν
Θεόδωρος ὁ Στουδίτης
Θεοφάνης
Ζυγομαλᾶς Θεοδόσιος
Ἰγνάτιος ἡγούμ. Ἀκαπνίου
Ἱππόλυτος
Ἰωάννης Ναυπάκτου ὁ Ἀπόκαυκος
Ἰωάννης Δαμασκηνὸς
Ἰωάννης Εὐχαΐτων ὁ Μαυρόπους
Ἰωσὴφ Βρυέννιος
Κλήμης Ἀλεξανδρεὺς
Κωνσταντῖνος Ρόδιος
Λεοντίου πατριάρχου Ἱεροσολύμων βιογράφος
Μαλάλας Ἰωάννης



Μάλχος Φιλαδελφείας
Μιχαὴλ ὁ Σύγκελλος (Ἱεροσολ.)
Νεῖλος ὁ Σχολαστικὸς
Νικηφόρος πατριάρχης ΚΠόλεως
Ρωμανὸς ὁ Μελῳδὸς
Συμεὼν Στυλίτου τοῦ Νέου βιογράφος
Συναξαρισταὶ διάφοροι
Σύνοδος Οἰκουμενικὴ ς'
Στιλβῆς Κωνσταντῖνος (= Κύριλλος Κυζίκου)
Στηθᾶτος Νικήτας
Ταράσιος πατριάρχης ΚΠόλεως
Ὑμνογράφοι ἀνώνυμοι
Ὑπομνήματος συγγραφεὺς
Φιλῆς Μανουὴλ
Φιλόθεος Κόκκινος Πατριάρχης ΚΠόλεως
Φώτιος Α' πατριάρχης ΚΠόλεως
Χρυσοκέφαλος Μανουὴλ
Χριστόφορος Μυτιληναῖος

#### ΙΙ. Σύλλαβος ὅρων Ζωγραφικῆς, Τέχνης, Εἰκονογραφίας

Ἀγγεῖον (φωτοδόχον)
ἅγιαι θύραι, αἱ (τοῦ ἱεροῦ βήματος)
ἄλυσοι, αἱ
ἀμνός, ὁ (χρυσοΰφαντος)
ἀνάγραπτος (διάκοσμος εἰκόνος)
ἀναγράφω (εἰκόνας)
ἀναμορφῶ (εἰκόνας)
ἀναστηλῶ (εἰκόνας, = ἱστορεῖν)
(ἀνατυπῶ ρ.) ἀνατύπωσις εἰκονική,ἡ
ἀνιστορῶ - οῦμαι ρ. (εἰκόνας)
ἀνιστῶ ρ. (εἰκόνας)
ἀπείκασμα, τὸ
ἀπεικονίζω ρ.
ἀπεικόνισμα, τὸ
ἀπεικονισμός, ὁ
ἀπερίγραπτος (ὁ Θεὸς) ἐπ.
ἀπολιμπάνειν ρ. (τῶν πρωτοτύπων εἰκόνων)
ἀπομάττεσθαι ρ. (σανίσιν)
ἀργυρᾶ (εἰκὼν) καὶ διάχρυσος
ἀργυροῦς (ἐπὶ σκευῶν καὶ εἰκόνων)
ἀργυρό(διά)χρυσος ἐπ.
ἀρχέτυπον, τὸ
ἀφομοίωμα, τὸ
ἀχειροποίητος ἐπ.
ἀχειρότευκτος ἐπ. (τύπος)
ἀχρύσωτος
βῆλον, τὸ (-α)
βίβλος, ἡ (-οι, αἱ)
βλαττίον, τὸ
γραμμάτιον, τὸ
γραφή, ἡ (-ῆς νόμος)
γραφεύς, ὁ (ὁ ζωγράφος)
γραφική, ἡ
γράφω (-ειν χρώμασιν)
διάκοσμος (ἀνάγραπτος εἰκόνος)
διατυπῶ ρ.
διάχρυσος ἐπ.
δίθυρος (λαιμή) ἐπ.
δίσκος (=δισκάριον τιμίων δώρων), ὁ
ἐγγράφω ρ. (τύπον)
ἔγκαυστος (εἰκὼν)
ἐγκόλπιον, τὸ (εἰκόνος)
ἐγχαράττω (εἰκόνα) ρ.
εἶδος, τὸ (= μορφή, πρόσωπον)
εἴδωλον-α (οὐχὶ αἱ εἰκόνες)
εἴκασμα, τὸ
εἰκονίζειν - ίζεσθαι ρ.
εἰκονικὸς ἐπ. -ῶς
εἰκόνισμα, τὸ
εἰκονιστής, ὁ
εἰκονογράφος, ὁ

εἰκονοειδής, ὁ
εἰκονοθραύστης, ὁ
εἰκονοκαύ(σ)της, ὁ
εἰκονοκλάστης, ὁ
εἰκονοκτίστης, ὁ (= ζωγράφος)
εἰκονολάτρης, ὁ
εἰκονουργία, ἡ, εἰκονουργῶ ρ. (ζωγραφῶ)
εἰκονοφίλης, ὁ
εἰκονοφίλος, ὁ
εἰκονόφιλος, ὁ
εἰκών, ἡ (ἀπαράλλακτος, ἁγία, ἱερά, χαλκῆ, λιθίνη, εἰκὼν τοῦ Θεοῦ ὁ ἄνθρωπος)
ἐκμαγεῖον, τὸ
ἐκσφράγισμα
ἐκτυποῦσθαι (ράκη) ρ.
ἐκτύπωμα, τὸ (-α ἱερὰ καὶ σεμνὰ)
ἐλεφάντινος, ἐπ.
ἐλέφας, ὁ (= ἐλεφαντοστοῦν)
ἐνδυτή, ἡ (εἰκόνων· τῆς ἁγίας Τραπέζης)
ἐξεικονίζεσθαι ρ.
ἐπιτραχήλιον, τὸ
ζυγοστάσια, τὰ (Δευτέρας Παρουσίας)
ζωγράφημα, τὸ
ζωγραφία, ἡ
ζωγράφος, ὁ
ζωγραφῶ -οῦμαι ρ.
θεανδρικὴ (εἰκὼν ἀχειροποίητος Χριστοῦ)
θήκη, ἡ (= φέρετρον)
θύραι, αἱ (ἅγιαι-αι = ὡραία πύλη)
ἰδέα, ἡ (= ἡ μορφή)
ἰδιώματα, τὰ (μορφῆς ἐκτυπουμέπουμένης)
ἱερογραφία, ἡ
ἱερογράφος, ὁ (= ζωγράφος)
ἱεροτυπία, ἡ
ἱστορία, ἡ (διὰ ζωγραφικῆς) -αι = τοιχογραφίαι
ἱστορῶ ρ. (παριστῶ, ζωγραφῶ)
καθαιρῶ ρ. (εἰκόνας)
καρφίον, τὸ
κατασκευάζω ρ.
κειμήλιον, τὸ
κεραμεοῦς ἐπ. (= πήλινος)
κηρός, ὁ (κηρῷ μεμιγμένα χρώματα)
κόσμος-ῶ (διακόσμησις εἰκόνος-ῶ)
κρατὴρ (ἱερὸς = ἅγιον ποτήριον)
λαιμή, ἡ
λειογραφία, ἡ (= σφαλιστήριον — εἰκὼν)
λίθινος ἐπ. (ἐπὶ εἰκόνος)
λίθοι τίμιοι (εἰκόνος)
λίθος, βλ. λίθινος
λινοῦς ἐπ. (εἰκὼν ἐπὶ λινοῦ ὑφάσματος)
λιτόγραφος ἐπ.
μανουάλια, τὰ
μεταγράφω-ομαι ρ. (ἀντίγραφα εἰκόνων)
μιμοῦμαι ρ. (τὸ πρωτότυπον)
μορφή, ἡ (τοῦ Κυρίου, θεανδρική, τὸ ἅγιον Μανδήλιον)
μορφοῦσθαι ρ.
μορφῶ ρ.
μόρφωμα, τὸ
μόρφωσις, ἡ
ξύλινος ἐπ.
ξύλον, τὸ (= σανὶς ἐφ' ἧς ἡ εἰκών)
ὁμοιογραφῶ ρ.
ὁμοίωμα, τὸ (μορφῆς, προσώπου)
ὁμοίωσις, ἡ (καθ' ὁμοίωσιν)
περιγραπτός, ὁ (Χριστὸς)
περιγράφω ρ. (εἰκόνι τινὰ) -ομαι
πίναξιν (εἰκονίζειν)
πλαστικός, ἐπ. (νόμοι-ῆς)
προσευχάδιον, τὸ



προσκύνησις (εἰκόνων), ἡ
προσκυνῶ ρ.
πρωτότυπον, τὸ (εἰκόνος)
πυκτίον, τὸ
ῥάκος, τὸ
σάκκος, ὁ (ἀρχιερατικὸς)
σανίς, ἡ (εἰκόνων)
σεβάζομαι (ἀπονέμω σέβας ταῖς εἰκόσιν)
σκαραμάγγιον, τὸ
σκεύη, τὰ
Σταύρωσις (Χριστοῦ), ἡ (εἰκονιζομένη)
σφαλιστή(ά)ριον
σχῆμα, τὸ
σχηματισμός, ὁ
τεκταίνομαι ρ. (εἰκόνα)
τέμπλον, τὸ
τετραευάγγελον, τὸ
τζουνίον, τὸ
τιμᾶν (λαμπάσι, μύροις καὶ θυμιάμασιν εἰκόνα)
τύπος, ὁ (εἰκόνος)
τυπῶ ρ. (εἰκόνα χρώμασιν, διατυπῶ)
ὑλογραφία, ἡ
ὑλογραφικὸς ἐπ. (-κὴ εἰκὼν μεγάλη)
ὑποσκιαγραφῶ ρ.
φυλακτήριον, τὸ (εἰκὼν)
φωτοδόχος ἐπ.
χαλκός, ὁ
χαράττω ρ.
χειρόγραφος ἐπ. (εἰκών), ἡ
χειροποίητος ἐπ. (τὰ -τα)
χρυσάργυρος
χρυσός, χρυσῆ (εἰκὼν)
χρυσότευκτος, ἐπ.
χρυσοΰφαντος ἐπ.
χρώματα, τὰ (ἀληθῆ, ἀπαλαίωτα)
χυμευτὸς ἐπ. (-ἡ εἰκὼν Μεγ. Κωνσταντίνου)

ΝΙΚΟΛΑΟΣ Β. ΤΩΜΑΔΑΚΗΣ

## ΕΠΙΓΡΑΜΜΑ ΕΙΣ ΕΙΚΟΝΑ ΤΟΥ ΑΓΙΟΥ ΜΑΝΔΗΛΙΟΥ

Εἰς ὅσα ἔγραψα ἀνωτέρω σ. 161 ἑξ. περὶ εἰκόνων τοῦ Ἁγίου Μανδηλίου προσθετέον καὶ ἐπίγραμμα Ἰωάννου μεγάλου πριμμικηρίου τῆς Μ. Ἐκκλησίας γραφὲν ἐπὶ εἰκόνος τοῦ Ἁγίου Μανδηλίου, ζωγραφηθείσης κατ' αἴτησιν τοῦ ἄρχοντος κυρίτζη Σκαρλάτου, καὶ πρὸ πολλοῦ δημοσιευθὲν ὑπὸ Μανουὴλ Γεδεὼν (ΕΑ Γ', 1883, σ. 329β), ἔχον οὕτω :

*Τοῦ αὐτοῦ, Στίχοι ἰαμβικοὶ ἐκδοθέντες μοι εἰς ἐπιγραφὴν τοῦ ἁγίου Μανδηλίου, κατ' αἴτησιν τοῦ ἄρχοντος κυρίτζη Σκαρλάτου.*

*Ηὔχει τὸ πρὶν Αὔγαρος ἰδέαν φέρων*
*Χριστοῦ ἀχειρότευκτον, νῦν δὲ Σκαρλάτος*
*ἐκ τῶν Ῥωσσέτων τοῦ γένους ὡρμημένος*
*γάννυται πλουτῶν εἰκόνα σεπτὴν τήνδε,*
5 *ἐξ ἀρχετύπου μορφωθεῖσαν ἀμέσως.*

Ἰδέα ἐδῶ εἶναι ἡ μορφή, τὸ πρόσωπον τοῦ Χριστοῦ, τὴν δ' εἰκόνα μαρτυρεῖ ὁ ἰαμβογράφος ἀντιγραφεῖσαν πιστῶς ἐκ τοῦ ἀρχετύπου (ποίου καὶ ποῦ;). Ὁ τῆς εἰκόνος κύριος καὶ ἀναθέτης λέγεται Σκαρλᾶτος Ῥωσσέτης, ἀγνοοῦμεν δὲ ποῖος ἦτο ἀκριβῶς, πιθανῶς ἐκ τῶν γραφειοκρατῶν ἀρχόντων τῶν Ἡγεμονιῶν, πρόσωπον τοῦ πρώτου ἡμίσεος τοῦ ιη' αἰῶνος (πρβλ. ἄρθρον Ρωσσέτης ἐν ΜΕΕ 21,1933, σ. 351): Περὶ δὲ τοῦ Ἰωάννου ἐξ ὅσων ἐδημοσίευσεν ὁ Γεδεών, ἐμάθομεν ὅτι πρόκειται περὶ λογίου καὶ φιλοσόφου Ἰωάννου τοῦ Λεσβίου, γνωστοῦ καὶ ἐξ ἄλλων του συγγραφῶν, ὧν τινες ἀναφέρονται εἰς προσωπικότητας μετὰ τὸ 1700 δρασάσας, ὡς πτρχης Κύριλλος ὁ ἀπὸ Κυζίκου. Ὁ Ἰωάννης οὗτος, πλὴν τοῦ ἀξιώματος τοῦ μεγάλου πριμμικηρίου, ἔλαβε καὶ τὸ τοῦ ὑπάτου τῶν φιλοσόφων, τοῦ διερμηνέως τοῦ στόλου καὶ τοῦ αὐλικοῦ τῶν Ἡγεμονιῶν, ἦτο δὲ πάντως σχετικὸς πρὸς τοὺς οἴκους τῶν Καρατζάδων καὶ Μαυροκορδάτων. Πιθανῶς δ' αὐτὸς συνέγραψε καὶ τὸ ὑπ' ἀριθ. 7 ἐπίγραμμα Ἀνωνύμου, σχετικὸν πρὸς Λάσκαρην σπαθάριον Ῥωσσέτην (ΕΑ Γ', σ. 378 β). Σημειῶ ἁπλῶς ὅτι Ρωσσέττης ὑπῆρξεν ἐν Ζακύνθῳ (κατὰ Λ. Χ. Ζώην, ΑΙΛΖ, ἐν λέξει) τὸ 1790.

Ν. Β. Τ.

# Δ'

# Η ΚΥΠΡΙΑΚΗ ΑΓΙΟΛΟΓΙΑ ΚΑΙ ΥΜΝΟΓΡΑΦΙΑ ΕΝ ΣΧΕΣΕΙ ΠΡΟΣ ΤΑΣ ΚΥΠΡΙΑΚΑΣ ΑΚΟΛΟΥΘΙΑΣ

Τοῖς ἀγχόνῃ τελειωθεῖσι Νεομάρτυσι
τῆς Κύπρου
ὑπὲρ τῆς Ἐλευθερίας καὶ τῆς Ἑνώσεως
Ν. Β. Τ.

## ΠΡΟΛΟΓΟΣ

Τὸ περαιτέρω δημοσιευόμενον μελέτημα ἐγράφη κατ' ἀρχὰς ὡς ἀνακοίνωσις διὰ τὸ Β' Κυπρολογικὸν Συνέδριον, τὸ ὁποῖον ἐπρόκειτο νὰ συνέλθῃ τὸ 1974 εἰς Λευκωσίαν (ὅπου τὸ 1969 εἶχε συγκληθῆ καὶ τὸ Α'). Τούτου δὲ ματαιωθέντος, τὸ κείμενον ἀνεθεωρήθη διὰ ν' ἀνακοινωθῆ εὐρεῖα αὐτοῦ περίληψις εἰς τὸ ΙΕ' Διεθνὲς Βυζαντινολογικὸν Συνέδριον (τμῆμα Κυπρολογικόν), τὸ συνελθὸν ἐν Ἀθήναις κατὰ Σεπτέμβριον 1976. Ἡ βασική μου δὲ πρόθεσις ἦτο νὰ δείξω ὅτι ἡ Κύπρος, ἀκολουθοῦσα μετὰ τὸ 1571 καὶ ὑπὸ τὴν τουρκικὴν κατοχὴν τὴν βυζαντινὴν παράδοσιν, συνέχιζε τήν τε σύνταξιν ἁγιολογικῶν κειμένων, καὶ δὴ καὶ Ἀκολουθιῶν τῶν ἁγίων αὐτῆς, ὁσίων τε καὶ (νεο)μαρτύρων, καὶ κατὰ τὸν τύπον, τὴν γλῶσσαν καὶ τὴν διάταξιν ἀκολουθοῦσα τὴν τάξιν καὶ παράδοσιν τῆς ὅλης Ὀρθοδόξου Ἑλληνικῆς Ἐκκλησίας. Ἀπὸ δὲ τῶν μέσων τοῦ ιη' αἰῶνος ἤρχισε καὶ διὰ τοῦ τύπου ἐκδίδουσα καὶ διὰ λόγους χρηστικοὺς τὸ πρῶτον (καὶ ἐσχάτως ἐπιστημονικούς) τὰ ἐν λόγῳ κείμενα.

Ἑπομένως δὲν πρόκειται νὰ μὲ ἀπασχολήσουν ἐδῶ οὔτε ὁ χρόνος οὔτε ὁ τρόπος τοῦ σχηματισμοῦ τῆς ἁγιολογικῆς Κυπριακῆς λατρείας, πότε τυχὸν καθιερώθησαν οἱ ἅγιοι τῆς Ἀποστολικῆς Ἐκκλησίας τῆς Κύπρου, τίνος σκοποῦ ἕνεκα, καὶ διὰ ποίων εἰσηγητῶν, πράγματα τὰ ὁποῖα ἐξήτασαν ἄλλοι. Ἀπεναντίας μὲ ἀπασχολεῖ ἡ πρὸ τῶν Σταυροφοριῶν εἰσαγωγὴ τῶν Κυπρίων ἁγίων εἰς τὸ ἑορτολόγιον τῆς Μεγάλης Ἐκκλησίας, τῶν ἐξακολουθητικῶς μέχρι καὶ σήμερον τιμωμένων, ὡς καὶ ὁ σχηματισμὸς τοπικῆς Κυπριακῆς ἁγιολογίας, ὡς αὐτὴ ἐκφράζεται ἰδίᾳ διὰ τῶν Ἀκολουθιῶν. Τινὲς

τούτων ἢ ἀναφέρονται εἰς σχετικῶς πρόσφατα πρόσωπα (μετὰ τὸ 1571), εἴτε καὶ ἐγράφησαν κατὰ τὴν περίοδον ταύτην τῆς Τουρκοκρατίας.

Ὁμοίως ἠθέλησα νὰ καταγράψω ὅσους ἐγνώριζον ἢ ἠδυνήθην, Κυπρίους καὶ μή, συγγραφεῖς ἁγιολογικῶν κειμένων καὶ Ἀκολουθιῶν, καὶ νὰ δώσω ἕνα (ἀτελῆ ἀναμφιβόλως) Πίνακα τῶν γνωστῶν μου ἐντύπων ἢ χειρογράφων Ἀκολουθιῶν, τῶν μὴ περιλαμβανομένων εἰς τὴν BAG τοῦ L. Petit, ἐκδοθεῖσαν τὸ 1926 (ἑπομένως καὶ παλαιωθεῖσαν), διότι πολλαὶ Ἀκολουθίαι ἐφάνησαν μετὰ τὸ ἔτος ἐκεῖνο.

Εὐνόητον εἶναι ὅτι, μὴ ἀσχολούμενος ἐνταῦθα ὡς ἱστορικός, ἀναγράφω τὰς περὶ τῶν ἁγίων - ἐπισκόπων εἰδήσεις χωρὶς νὰ πειρῶμαι νὰ ἐξακριβώσω τὴν ἀλήθειαν αὐτῶν, δηλονότι ἂν ὁ Α ἢ ὁ Β ἅγιος, ὁ φερόμενος ὡς ἐπίσκοπος τῆς δεῖνος ἐν Κύπρῳ ἐπισκοπῆς, ὑπῆρξε τῷ ὄντι καὶ πότε ἀρχιερεὺς αὐτῆς ἐκεῖ. Τοῦτο, ἀλλότριον δι᾽ ἐμέ, εἶναι ἔργον τοῦ ἱστορικοῦ τῆς τοπικῆς Ἐκκλησίας, γνωρίζοντος καὶ ἄλλας, ἀσχέτους πρὸς τὸ θέμα μου, πηγάς. Ἐμὲ ἐνδιέφερεν ἂν ὁ Α ἢ ὁ Β ἀρχιερεὺς ἔτυχεν ἁγιολογικοῦ τινος κειμένου (συναξαρίου ἢ ἐγκωμίου), ἢ ἂν ἐγράφη καὶ ἐδημοσιεύθη δι᾽ αὐτὸν Ἀκολουθία τις. Οὐδ᾽ ἡ ποιότης τῶν κειμένων (καὶ δὴ τῶν ἐπιτοπίως γραφέντων) ἦτο θέμα ἐμόν, μολονότι τινὰ ἐξ αὐτῶν, ὡς τὰ γραφέντα ὑπὸ Νεοφύτου τοῦ Ἐγκλείστου, ἐγείρουν ἀμέριστον τὸ φιλολογικὸν διαφέρον, ὡς προερχόμενα ἀπὸ ἀξιόλογον συγγραφέα, δημιουργήσαντα πλῆθος νέων λέξεων.

Ἰδίως ὡς πρὸς τὰ ἁγιολογικὰ κείμενα, γνωρίζει ὁ ἀναγνώστης μου ὅτι ταῦτα εἶναι καταγεγραμμένα εἰς τὴν BHG[3] καὶ τὸ Auctarium (τῆς BHG ἀναμένεται καὶ τετάρτη συμπεπληρωμένη ἔκδοσις), ὥστε μόνον ὑποβοηθητικῶς ν᾽ ἀναφέρωνται ἐδῶ, ὅταν μάλιστα Κύπριος συγγραφεὺς ἔγραψε διὰ Κύπριον ἅγιον.

Ὡς ἐκ τῆς φύσεώς της, ἡ ἀκολουθοῦσα μελέτη δίδει μόνον μερικὴν εἰκόνα τῆς εἰς τοὺς Κυπρίους ἁγίους ἀπονεμομένης καὶ σήμερον λαϊκῆς λατρείας ἢ τιμῆς, διότι ἡ ἀνταπόκρισις Ἀκολουθιῶν - ἑορτῶν ἔνθεν, καὶ (ἡ μὴ ἐξεταζομένη ἐδῶ) ὕπαρξις μοναστηρίων, ναῶν, προσκυνημάτων τῶν εἰς αὐτοὺς ἀναφερομένων, συναρτᾶται. Εἰς τὴν Κύπρον ὑπῆρξε ζωηροτάτη ἡ βυζαντινὴ παράδοσις, οὐ μόνον παρὰ τοῖς εὐπαιδεύτοις, ἀλλὰ καὶ τῷ Χριστιανικῷ Λαῷ.

Τοῦτο φαίνεται ἀπὸ τὰ κείμενα τῶν Ἀκολουθιῶν, τὰ τροπάρια τῶν ὁποίων οὐ μόνον μελίζονται πρὸς ρυθμικὰ πρότυπα τῆς βυζαντινῆς Ὑμνογραφίας, ἀλλὰ πολλάκις διασκευάζουν ἢ καὶ ἀπηχοῦν αὐτά, πρᾶγμα σύνηθες διὰ τὴν μεταβυζαντινήν, ὅση συναντᾶται εἰς τὰς διαφόρους «Φυλλάδας» ποιητικὴν παραγωγήν.

Φυσικὸν ἦτο εἰς ἓν τῶν Ἐπιμέτρων νὰ συγκεντρώσω τὰς (βιβλιογραφικὰς) ἐνδείξεις (initia ἢ καὶ τεμάχη) ὑμνογραφικῶν κειμένων, ὅσα ἐγράφησαν ὑπὸ μὴ Κυπρίων καὶ δὴ ὑπὸ ἐνδόξων βυζαντινῶν ποιητῶν.



Ἐλπίζω δ᾽ ὅτι ἡ μελέτη αὕτη, καὶ ὡς πρόδρομος θεωρουμένη, ἰθύνει τὴν ὁδὸν δι᾽ εὐρυτέραν ἐξέτασιν τοῦ θέματος καὶ διὰ συγκέντρωσιν πληρεστέρου ὑλικοῦ σχετικοῦ πρὸς τὸ ἐξεταζόμενον θέμα.

Χανιά, Αὔγουστος 1977

---

Ἐπισημείωσις: Ἡ μελέτη ἐπρόκειτο νὰ τυπωθῇ ἐν Κύπρῳ μετὰ προσθηκῶν καὶ βελτιώσεων αἱ ὁποῖαι μᾶς ὑπεδεικνύοντο, ἀλλ᾽ εἰς τοῦτο δὲν κατένευσα ν᾽ ἀναμείξω τὰ ἐμὰ μετὰ τῶν ἄλλων. Ἐπεφυλάχθην δι᾽ ἀναθεώρησιν, τὴν ὁποίαν ἐπεβράδυνεν ἀφ᾽ ἑνὸς ἡ περὶ Μελετίου Πηγᾶ συγγραφή μου καὶ ἐξ ἄλλου αἱ οἰκογενειακαί μου περιστάσεις. Κατὰ τὴν ἄνοιξιν τοῦ 1983 ὅμως, προκειμένου ν᾽ ἀντιγραφῇ καὶ τυπωθῇ, ἐχρησιμοποίησα τὸ σταλέν μοι ἐκ Κύπρου ὑλικόν, ὅπου τοῦτο ἀπ᾽ εὐθείας μοὶ ἦτο ἀπρόσιτον. Διὸ καὶ ἐκφράζω καὶ ἐντεῦθεν τὰς εὐχαριστίας μου πρὸς τοὺς δρας κυρίους Θεόδ. Χ. Παπαδόπουλλον, καὶ Βεν. Ἐγγλεζάκην, διὰ τὰς πολυαρίθμους ὑποδείξεις των.

## ΒΙΒΛΙΟΓΡΑΦΙΑ ΤΩΝ ΣΥΝΤΟΜΟΓΡΑΦΙΩΝ*

AASS = Acta Sanctorum.

AB = Analecta Bollandiana, περ., Bruxelles, Société des Bollandistes.

Ἁγιολογικὰ = Σωφρονίου Εὐστρατιάδου, Ἁγιολογικά. Βιβλιογραφία τῶν Ἀκολουθιῶν, ΕΕΒΣ 9, 1932, σσ. 80 - 122 [ἐξ ἀφορμῆς ἐκδόσεως τῆς BAG].

Ἁγιολόγιον = Σωφρονίου Εὐστρατιάδου, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας [Ἀθῆναι 1961, μεταθανατίως ἐκδοθὲν ἀσυγχρόνιστον].

Ἀπ. Βαρνάβας = Ἀπόστολος Βαρνάβας, περ. Ἀρχιεπισκοπῆς Κύπρου ἐν Λευκωσίᾳ, περίοδος Γ'.

Auctarium· βλέπε BHG³.

BAG = Louis Petit, Bibliographie des Acolouthies grecques, Bruxelles 1926. (Subsidia Hagiographica 16). Société des Bollandistes.

BHG³ = Bibliotheca Hagiographica Graeca³, τ. I - III, Bruxelles 1957 καὶ [Συμπλήρωμα] Auctarium BHG, Bruxelles 1969, par Fr. Halkin, Bollandiste. (Subsidia Hagiographica, Nos 8 καὶ 47).

Γεδεών, ΒΕ = Μανουὴλ Ἰω. Γεδεών, Βυζαντινὸν Ἑορτολόγιον. Μνῆμαι τῶν ἀπὸ τοῦ Δ' μέχρι μέσων τοῦ ΙΕ' αἰ. ἑορταζομένων ἁγίων ἐν Κωνσταντινουπόλει... Ἐν Κωνσταντινουπόλει ,αωϟθ' (= 1899).

Delehaye, ΝΕ = Hippolyte Delehaye, Saints de Chypre, AB 26, 1907, σσ. 161 - 301 [ἐν οἷς καὶ ὀκτὼ λόγοι Νεοφύτου τοῦ Ἐγκλείστου ἐκ τοῦ cod. Paris. Gr. 1188].

ΕΕΒΣ = Ἐπετηρὶς Ἑταιρείας Βυζαντινῶν Σπουδῶν, Ἀθῆναι 1924 ἑξ.

ΕΦ = Ἐκκλησιαστικὸς Φάρος. Περ. Ἑλληνορθοδόξου Πατριαρχείου Ἀλεξανδρείας, Ἀλεξάνδρεια 1908 ἑξ.

Χάκεττ - Παπαϊωάννου = Ἰωάννου Χάκεττ, Ἱστορία τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Κύπρου, κατὰ μετάφρασιν καὶ συμπλήρωσιν Χαριλάου Παπαϊωάννου, τόμος Β', ἐν Πειραιεῖ 1927. Κεφ. Η', σσ. 165 - 292 : Οἱ ἅγιοι τῆς Κύπρου, Α' (σσ. 165 - 217): Οἱ ἐντόπιοι, Β' (σσ. 218 - 292) : Οἱ ἔξωθεν. [Ἀλλαχοῦ τοῦ τριτόμου βιβλίου γίνεται λόγος περὶ τῶν ἀρχιερέων Κύπρου, ὧν τινες καὶ ἅγιοι].

Halkin, Synax. = Fr. Halkin, Un nouveau synaxaire byzantin; Le ms. gr. lit. d. 6 de la bibliothèque Bodleienne à Oxford, ἐν "Annuaire de l'Institut de Philologie et Histoire orientales et slaves" 10, 1950, σσ. 307-328, Bruxelles [περὶ τῶν σχηματισθέντων ἀπὸ τοῦ 10ου αἰ. Συναξαρίων : SC = χειρόγραφον Sirmond, νῦν ἐν τῇ (ποτὲ Βασιλικῇ) δημοσίᾳ Βιβλιοθήκη τοῦ Βερολίνου. ΜΟ (τέλος ιγ' αἰ.) περιέχοντος συναξάρια μόνον Μαρτίου - Αὐγούστου].

* Δὲν περιλαμβάνονται τὰ δημοσιεύματα ἐν οἷς ἐκδίδονται Ἀκολουθίαι, καταγραφόμεναι εἰς τὸ β' μέρος τῆς μελέτης.

20 - 6 - 1986



Καρπασίας Ἅγιοι = Ἅγιοι Καρπασίας, ἐκδιδόντων Γ. Παπαχαραλάμπους καὶ Ν(εάρχου) Κληρίδη, εἰσαγωγὴ Κ(ωνσταντίνου) Σπυριδάκη, Πρόλογος, Εἰσαγωγή. α') Τὸ χειρόγραφον καὶ ὁ συγγραφεύς του. β') Ἡ ζωὴ καὶ τὸ ἔργον τῶν ἁγίων Καρπασίας (ὧν ἐκδίδονται περαιτέρω αἱ Ἀκολουθίαι καὶ τὰ Συναξάρια : Φίλωνος, Συνεσίου, Θερίσου, Φωτεινῆς, Σωζομένου), «Κυπρ. Σπουδαὶ» 11, 1947, σσ. θ' - λβ' καὶ 1 - 112 καὶ πίν. (= Κωνσταντίνου Σπυριδάκη, Μελέται, διαλέξεις, λόγοι, ἄρθρα, τόμος Α', Ἱστορικοφιλολογικαὶ μελέται καὶ διαλέξεις, μέρος Β'. Ἐν Λευκωσίᾳ 1972, σσ. 367 - 393 : Οἱ ἅγιοι τῆς Καρπασίας [μόνον ἡ εἰσαγωγή]).

Κιγάλας, Συναξ. = Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου, Συναξάρια εἰς τὰς ἐπισήμους ἑορτὰς τοῦ Τριῳδίου καὶ Πεντηκοσταρίου. Μεταφρασθέντα εἰς κοινὴν γλῶσσαν παρὰ τοῦ ἐν ἱερεῦσι ἐλαχίστου Ματθαίου Κιγάλα τοῦ Κυπρίου..., ἐν Βενετίαις (1696) [πρβλ. Σπ. Λάμπρον, ΝΕ 2, 1905, σ. 215].

Κυπρ. Σπουδαὶ = Περ. «Κυπριακαὶ Σπουδαί», ἐν Λευκωσίᾳ ἀπὸ τοῦ 1938.

Κυπρ. Χρονικὰ = Περ. «Κυπριακὰ Χρονικά», ἐν Λάρνακι ἀπὸ τοῦ 1923 - 1935.

Legrand, BH = É. Legrand, Bibliographie Hellénique (I - XI), Paris 1885 - 1928. [Δίδονται εἰς τὰς παραπομπὰς οἱ τόμοι, σσ. καὶ οἱ ἀριθμοί].

Μακάριος Γ', ΚΑΝ = Μακαριωτάτου ἀρχιεπισκόπου Κύπρου κ.κ. Μακαρίου Γ', Κύπρος ἡ Ἁγία Νῆσος, Ἀθῆναι 1966, 8ο, σσ. 52 (ὅπου ἐκτενὴς βιβλιογραφία). [= Ἀνατύπωσις ἀπὸ τὸν τόμον «Πόνημα Εὔγνωμον Βασιλείου Βέλλα», Ἀθῆναι 1969, σσ. 356 - 406].

MR = Μηναῖα τοῦ ὅλου ἐνιαυτοῦ, τόμοι Α' - ϛ', ἐν Ρώμῃ 1888 - 1901.

ΝΕ = «Νέος Ἑλληνομνήμων», περ. ὑπὸ Σπ. Λάμπρου, 1 - 21, Ἀθῆναι 1903 - 1927.

Νέον Μαρτυρολόγιον³ = Νέον Μαρτυρολόγιον, ἤτοι μαρτύρια τῶν νεοφανῶν Μαρτύρων τῶν μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως κατὰ διαφόρους καιροὺς μαρτυρησάντων ... παρὰ τοῦ ὁσίου Νικοδήμου τοῦ Ἁγιορείτου, ἔκδοσις τρίτη, Ἀθῆναι 1961, 8ο, σσ. 302. [Ἡ α' ἔκδοσις 1794, ἡ β' ἐν Ἀθήναις 1896].

ΝΣ = «Νέα Σιών», περ. Ἑλληνορθοδόξου Πατριαρχείου Ἱεροσολύμων, 1904 ἑξ.

— Θεοδώρου Χ. Παπαδοπούλλου, Ἐκ τῆς ἀρχαιοτάτης ἱστορίας τοῦ πατριαρχείου Ἱεροσολύμων. Τὸ κείμενον ἀρχαίας παραδόσεως περὶ ἐπισκέψεως τῆς ἁγίας Ἑλένης εἰς Παλαιστίνην καὶ Κύπρον, ΝΣ 47, 1952, σσ. 206 - 235 [Τὸ κείμενον ἐν σσ. 217 - 235, ἀπὸ τὸ χειρόγραφον Additional 34554 τοῦ British Museum, 16ου αἰ., σσ. 232 - 233 : Συνοδικὸν ἀρχιεπισκόπου Ταμασίας Κύπρου καὶ ἄλλων ἐπισκόπων. Ἐν συνεχείᾳ σ. 235 : ὀνόματα Κυπρίων ἁγίων καὶ ποῦ οὗτοι ἑορτάζονται].

SC = Synaxarium Constantinopolitanum : Synaxarium Ecclesiae Constantinopolitanae e codice Sirmondiano...opera et studio Hippolyte Delehaye, Bruxelles 1902. Propylaeum ad AASS Novembris.

Κ. Σπυριδάκις, Μελέται = Κωνσταντίνου Σπυριδάκι, Μελέται, διαλέξεις, λόγοι, ἄρθρα, τόμος Α', Ἱστορικοφιλολογικά. Μελέται καὶ διαλέξεις (μέρος Α') Μέρος Β', ἐν Λευκωσίᾳ 1972.

ΤΕΠ = Σωφρονίου Εὐστρατιάδου, Ταμεῖον Ἐκκλησιαστικῆς Ποιήσεως, ΕΦ 35, 1936 ἕως 51, 1952, κατὰ τόμους [εἰς τὰς παραπομπὰς δίδονται χρονισμός, τόμοι, σελίδες].

— Ἰω. Π. Τσικνόπουλλος, Ἅγιοι τῆς Κύπρου, «Ἀπ. Βαρνάβας», κατὰ τόμους ἀπὸ τοῦ 1963 - 1972 [περαιτέρω παραπομπὴ κατὰ περίπτωσιν].

— Ἰωάννης Π. Τσικνόπουλλος, Ἅγιοι τῆς Κύπρου, «Κυπρ. Σπουδαὶ» 30, 1966, σσ. 131 - 161 [Δημοσιεύονται «Λόγοι» ἐγκώμια τοῦ Νεοφύτου τοῦ Ἐγκλείστου διὰ τοὺς ἁγίους Μάμαντα, Ἱλαρίωνα, Ἰωάννην τὸν Ἐλεήμονα, Μαρῖναν, ἐκ τῶν κωδίκων Paris. gr. 1189 καὶ Suppl. gr. 1377. Περαιτέρω παραπομπὴ κατὰ περίπτωσιν].

Λ. Φιλίππου, Τὰ Ἑλλ. Γράμματα = Λοΐζου Φιλίππου, Τὰ Ἑλληνικὰ Γράμματα ἐν Κύπρῳ κατὰ τὴν περίοδον τῆς Τουρκοκρατίας (1571 - 1878), τόμοι Α'- Β', ἐν Λευκωσίᾳ 1930. [Πολλὰ καθ' ὑπόδειξιν τοῦ Ἰω. Συκουτρῆ].

Λ. Φιλίππου, ΕΠ = Λοΐζου Φιλίππου, Ἡ ἐκκλησιαστικὴ ποίησις τῆς Κύπρου. Διαλέξεις τοῦ Συλλόγου ΚΙΝΥΡΑ (Πάφου). Διαλέξεις περὶ τῆς Κυπριακῆς Ποιήσεως, Πάφος 1938, σσ. 44 - 59.

— Χρυσοστόμου Κυκκώτου, ἱεροδιακόνου (εἶτα Κωνσταντίας, Πάφου, καὶ νῦν ἀρχιεπισκόπου Κύπρου), Κύπριοι ἅγιοι ἐπὶ Τουρκοκρατίας, ΔΙΕΕ 11, 1956, σσ. 279 - 289.



# ΑΓΙΟΛΟΓΙΚΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ ΚΥΠΡΟΥ

Διὰ τοὺς κυριωτέρους ἐν τῇ νήσῳ τιμωμένους ἐντοπίους ἢ ξένους Ἁγίους*.

Ὅσιος Ἀββακοὺμ (Δεκεμβρίου 2).

a) Ἰω. Ἀντιφῶν Συκουτρῆς, Κυπριακὴ Ἁγιογραφία, «Κυπρ. Χρονικὰ» Β', 1924, σ. 51. b) Κ. Κύρρης, ΘΗΕ 1, 1962, στ. 27. c) Μακάριος Γ', ΚΑΝ, σ. 6.

Ἅγιος Ἀδριανὸς (Μαρτίου 4/5).
(Βλέπε: Γρηγόριος Κωνσταντίας).

Ἁγία Ἀθανασία (Ὀκτωβρίου 9).
(Συνεορτάζεται μετ' Ἀνδρονίκου, ὃν βλέπε περαιτέρω).

Ἅγιος Ἀθανάσιος ἀναγνώστης (Ἰουνίου 23).
(Βλέπε: Δημητριανὸς καὶ Ἀριστοκλῆς).

Μακάριος Γ', ΚΑΝ, σ. 7.

Ἅγιος Ἀθανάσιος, ἐπίσκοπος Χύτρων (δ' αἰ.; Ἄνευ ἡμερομηνίας ἑορτῆς του).

a) Ἁγιολόγιον, σ. 15. b) Μακάριος Γ', ΚΑΝ, σ. 7.

Ἅγιος Ἀθανάσιος Πεντασχοινίτης (ἄνευ ἡμερομηνίας ἑορτῆς).

a) Ἁγιολόγιον, σ. 15. b) Μακάριος Γ', σ. 7.

---

* Οἱ τιμώμενοι ἐν Κύπρῳ διὰ ναῶν, παρεκκλησίων, Ἀκολουθιῶν κλπ. ἅγιοι, ἢ τιμηθέντες κατὰ τὸ παρελθόν, καὶ οἱ ἅγιοι γενικῶς περὶ τῶν ὁποίων ἔγραψαν Κύπριοι, εἶναι πολὺ περισσότεροι τῶν ὑπερεκατὸν τοῦ παρόντος ἐλέγχου. Ἐσημειώθησαν οἱ ἀναφερόμενοι εἰς τὸ SC, οἱ ἔχοντες Ἀκολουθίας εἰς τὰ MR (προτιμηθέντα τῶν διαφόρους ἐπιρροὰς ὑποστάντων Ἑλληνικῶν ἀπὸ Β. Κουτλουμουσιανοῦ μέχρι σήμερον) οἱ δι' οὓς ἐσημειώθησαν ἁγιολογικὰ κείμενα ἐν BHG³ καὶ BAG, οἱ ἀναφερόμενοι τέλος εἰς τὸ Ἑορτολόγιον τοῦ Μ. Ἰ. Γεδεών, καὶ ἐκλεκτικῶς οἱ καταλογογραφηθέντες ὑπὸ Μακαρίου Γ' ἐν ΚΑΝ. Ἀπεκλείσθη ἡ ἀρχαιολογικὴ βιβλιογραφία, ὡς ἔργον ἀλλότριον, ἐξ ἧς θὰ ἐφαίνετο ποῖα μνημεῖα διετηρήθησαν, ἀνεσκάφησαν ἢ ὑπῆρξαν πρὸς τιμὴν τῶν ἐν λόγῳ ἁγίων. Δι' ἀστερίσκου ἐσημειώθησαν οἱ Ἅγιοι δι' οὓς ἐξεδόθησαν ἴδιαι Ἀκολουθίαι, καταλογογραφηθεῖσαι εἰς τὸ περαιτέρω σχηματισθὲν Corpus. Τινὲς τῶν σημειωθεισῶν βιβλιογραφικῶν ἐνδείξεων πληροφοροῦν καὶ περὶ τῶν μαρτυρίων, ναῶν, συνάξεων τῶν ἁγίων, τῶν ἁγιολογικῶν μαρτυριῶν καὶ τῶν περὶ αὐτὰς παραδόσεων, θαυμάτων κλπ., διὸ καὶ μόνον ἐνίοτε ἐσημειώθησαν. Ὅπου ἐγνώριζον καὶ ὑμνογραφικὰ κείμενα ἀναφερόμενα εἰς τοὺς ἐν λόγῳ ἁγίους, μὴ περιλαμβανόμενα δὲ εἰς Μηναῖα ἢ Φυλλάδας, ἐσημείωσα σχετικῶς.

Ἅγιος Ἀ κ ά κ ι ο ς (ἢ Ἰ σ α ά κ ι ο ς), ἐπίσκοπος Σίτης ἐν Κύπρῳ (Σεπτεμβρίου 21).

a) SC, στ. 67 - 68. b) Ἁγιολόγιον, σ. 20.

Ἅγιοι Ἀ λ α μ ά ν ο ι (καταφυγόντες ἐκ Παλαιστίνης εἰς Κύπρον) Ἀναστάσιος, Ἰωνᾶς, Κενδέας κλπ. (οὓς καὶ βλέπε).

a) Χ ά κ ε τ τ - Π α π α ϊ ω ά ν ν ο υ, σσ. 273 - 288, καὶ σποράδην κατ' ὄνομα. b) Ἁγιολόγιον, σσ. 323 - 324. c) Vie des saints Allemands de l'Église de Chypre, publiées par C o n s t a n t i n S a t h a s, Gènes 1884 (= Archives de l'Orient Latin II, 1884, σσ. 405 - 406). d) Χ (α ρ ά λ.) Π α π α δ ό π ο υ λ ο ς, Πότε ἦλθον οἱ Ἀλαμάνοι ἅγιοι εἰς Κύπρον, «Κυπρ. Σπουδαί» 8, 1944, σσ. 127 - 128.

Ἅγιος Ἀ ν α σ τ ά σ ι ο ς ὁ Ἀλαμάνος (Σεπτεμβρίου 17).

a) Ἁγιολόγιον, σ. 27. b) Κ. Π. Κ ύ ρ ρ η ς, Ὁ ἐν Κύπρῳ ἅγιος Ἀναστάσιος ὁ Ἀλαμάνος, «Κυπρ. Σπουδαί» 27, 1963, σσ. 187 - 192.

Ἀπόστολος Ἀ ν δ ρ έ α ς ὁ πρωτόκλητος (Νοεμβρίου 30).

a) BHG[3] 93 - 108 c. b) MR. c) Ἁγιολόγιον, σ. 39. d) Ἰ ω. Π. Τ σ ι κ ν ό π ο υ λ λ ο ς, Ὁ ἀπόστολος Ἀνδρέας, «Ἀπ. Βαρνάβας» 30, 1969, σσ. 326 - 328 καὶ 31, 1970, σσ. 3 - 13. e) Ἀρχιμ. Φ ω τ ί ο υ Σ. Κ ω ν σ τ α ν τ ι ν ί δ ο υ, ἱεροκήρυκος τῆς Ἀρχιεπισκοπῆς Κύπρου, Ἀνδρέας ὁ πρωτόκλητος. Ὁ βίος, ἡ πολιτεία καὶ τὸ ἔργον τοῦ ἐνδόξου τούτου τέκνου τῆς Ἐκκλησίας, Λευκωσία Κύπρου 1971.

Ἅγιοι Ἀ ν δ ρ ό ν ι κ ο ς καὶ Ἀ θ α ν α σ ί α συνεορταζόμενοι (Ὀκτωβρίου 9).

a) BHG[3] 120 - 123 i. b) MR. c) Ἁγιολόγιον, σ. 41. d) Μακάριος Γ', ΚΑΝ, σ. 8.

Τὸ ἀντίγραφον Patm. 444 προχωρεῖ μέχρι τῆς φράσεως : «ἡ τῶν καιρῶν δυσκολία καὶ τῶν πειρασμῶν οἱ ἐπωφελεῖς. Ταῦτ' οὖν μᾶλλον αὐτὰς διακρίνων...», ἣν βλέπε ἐν B, σ. 170, ὅπου ἡ ἐπιστολὴ λήγει : *Ἰωσὴφ μοναχοῦ τοῦ Βρυεννίου, ὃν καὶ πρὸ τοῦ ἰδεῖν ἐφίλεις, καὶ ἐν τῷ ὁρᾶν ἔστεργες, καὶ μετὰ τὸ θεάσασθαι ἀγαπᾷς διὰ Κύριον.*



# I. ΕΠΙΣΤΟΛΑΙ ΒΡΥΕΝΝΙΟΥ

## *Α'*

B 127 ***Τῷ μεγάλῳ σακελλαρίῳ τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, ἀρχιδιακόνῳ καὶ διδασκάλῳ τὰ θεῖα, κυρῷ Θεοδώρῳ τῷ Μελιτινιώτῃ. Ἐν Πόλει.***

*Πολὺς μὲν ἐμοὶ τῶν σῶν λόγων ἐντέτηκεν ἔρως καὶ διάπυρον σφόδρα μοι καὶ διακαὲς τὸ πρὸς σέ, μάκαρ, φίλτρον, ἀλλὰ καὶ τὸ διεῖργον μεταξὺ πολὺ πάντως διάστημα. Καὶ οὐκ ἔχω πῶς ἂν ἐμποδὼν ἅπαν ὥς τινα κλοιὸν ἀποτιναξάμενος πρὸς τὸν πεποθημένον ἀφίξομαι, μόνον δέ σε νοερῶς ἐνο- (5) πτρίζομαι, καὶ τοῦ νοῦ κρυφίαις συγγίγνομαι ταῖς ἀναπολήσεσιν, ἀΰλοις ἀναζωγραφῶν σε χρώμασι καὶ εἰκόνα παρ' ἐμαυτῷ τῆς ἡδίστης μοι φέρων ὄψεως. Καὶ τουτό μοι τοῦ πόθου μετρία τις ἀφοσίωσις καὶ τοῦ ἐλλείποντος ἀμωσγέπως καθέστηκεν ἀναπλήρωσις, διαπνοήν τινα μικρὰν τῷ πυρὶ τοῦ πόθου παρέχουσα. Ἐπάγονται δέ μοι οἱ σοί, θεσπέσιε, ἔρωτες, οὐ τὸ περιὸν μόνον (10) τῆς σῆς ἀρετῆς ἢ τὸ ἐν λόγοις ἀπαράβλητον ἢ τὸ πρὸς παιδείαν πᾶσαν ἀνθρωπίνην τε καὶ θείαν ἄκρως εὐδόκιμον — δι' ἃ πάντα ἄγαλμά σε ἄν τις ἰσχυρίσαιτο τῆς φύσεως καὶ μέγιστον ὡς ἀληθῶς φιλοτίμημα — ἀλλὰ καὶ τὸ σὸν ἐπιρρεπὲς εἰς ἐμὲ καὶ λίαν φιλόστοργον, ἐξ οὗ ἄρα τὸ σὸν ἔχω καταμανθάνειν, ἵν' οὕτως εἴπω, θεοειδές, καὶ τὴν ἄκραν πρὸς τὸ καλὸν γνησιότητα, (B 128) ναὶ μὴν καὶ τὴν εἰς μέγιστον | ἐπαίρουσαν ὕψος ταπείνωσιν. Ὅτι τὸν μηδὲν ὄντα, πρὸς τὴν σὴν ἀγχίνοιαν συγκρινόμενον, ἐπὶ μέγα ἐξῆρες καὶ ἔστεργες ἄκρως, καὶ μετὰ πολλοῦ ἦγες τοῦ θαύματος. Ἐπὶ τούτοις οὖν ἔχων χάριν εἰδέναι σοι, πῶς τῶν σῶν ἐπιλήσομαι; Πῶς οὐ διὰ τέλους σε στέρξω, καὶ πολυέραστόν τί σε χρῆμα καὶ ἐρασμιώτατον θήσομαι; Ἀλλὰ τούτων μὲν*

---

Codd. KPV

***Α'*** Tit.: *ἐν τῇ πόλει* KV *ἐν πόλει* B *ἐν Κωνσταντινουπόλει* P in marg. *ἐπαινετικὴ* codd.

1 *ἐντέτηκε* codd. *τέτηκε* B 6 *παρ' ἐμαυτῷ* codd. *παρ' ἑαυτῷ* B 9 *δέ μοι* KP *δέ με* B 10 - 11 *ἀνθρωπίνην* K *ἅπασαν ἀνθρωπίνην* PV *πᾶσαν ἀνθρώπινον* B 13 *λίαν* om. B 18 *σοι*: *σε* KP

20 *ἅλις· χάριν δὲ ἔσχον ὅτι πλείστην Θεῷ, πυθόμενός σε γενναιότατα τοῖς ἐναντίοις ἀντιταξάμενον, καὶ πᾶν στόμα λαλοῦν ἀνομίαν ἐμφράξαντα, καὶ κυνῶν ὑλακὴν τοὺς ἐκείνων φληνάφους ἐλέγξαντα, ὥστε καὶ ἰχθύων ἀφωνοτέρους, καίπερ ἐπὶ λόγοις μέγα φρονοῦντας, ἀποτελέσαι, ἀραχνίων ὑφασμάτων οὐδέν τι διενηνοχέναι τοὺς ἐκείνων παραλογισμοὺς ἀπελέγξαντα, καὶ λαμπρὰν ἤδη*
25 *τὴν κατ᾽ αὐτῶν ἀράμενον νίκην, καὶ περιφανὲς καὶ μέγα στησάμενον τρόπαιον. Ἀμέλει παρίσταταί μοι μὴ ἀμφιγνοεῖν ὁπωσοῦν, ὅτι σοι εἰκότως καὶ ὁ τῆς δικαιοσύνης ἀπόκειται στέφανος, ὃν ὁ δίκαιος Κριτὴς κατ᾽ ἐκείνην ἀποδώσει σοι τὴν ἡμέραν, τὸν δρόμον ἤδη κατὰ τὸν Παῦλον τὸν μέγαν τετελεκότι καὶ τὴν πίστιν μὴ ὅτι τετηρηκότι ἀλλὰ καὶ κρατύναντι καὶ κλο-*
30 *νουμένην ἐν μέρει καὶ πεσεῖν κινδυνεύουσαν στηρίξαντι τοῖς στερροῖς τῶν λόγων ἐρύμασι. Μακαρίζω σε τοιγαροῦν τῆς ἐν λόγοις περιουσίας, τοῦ περὶ τὴν εὐσέβειαν ζήλου καὶ τῆς θερμότητος, τῶν ὑπὲρ ἐκείνης ἀγώνων καὶ τῆς γενναίας ἐνστάσεως. Μακαρίζω σε τῆς νίκης καὶ τῶν τροπαίων, ἃ κατὰ τῶν ἐξ ἐναντίας ἀνέστησας, τῶν ἐπὶ τοῖς ἀγῶσιν ἐκείνοις στεφάνων καὶ τῶν*
35 *ἐν οὐρανοῖς ἀμοιβῶν, αἳ λαμπραί σοι καὶ περιφανεῖς ηὐτρεπίσθησαν· ὧν κατὰ τὴν φοβερὰν ἐκείνην, εὖ οἶδα, ἀξιωθήσῃ ἡμέραν, ἐν ᾗ κἀμοὶ εἴη, σαῖς εὐχαῖς οἰκτιρμῶν μὴ παντάπασιν ἀμοιρῆσαι δεσποτικῶν.*

*Ἐρρωμένος εἴης καὶ ὑγιαίνων ψυχῇ τε καὶ σώματι, τῆς θείας σοι διὰ βίου παντὸς συμπαρομαρτούσης χάριτος καὶ τὸ πρὸς ἅπαν σκαιὸν περι-*
40 *ποιουμένης ἀνάλωτον. Τοῦ ἐν μοναχοῖς ἐλαχίστου, ὃν ἡ φήμη ἐκ νέου Βρυέννιον Ἰωσὴφ ἐγνώρισεν.*

---

20 *πλεῖστον* B   28 *σοι* om. KP   31-32 *τῆς περὶ τοῦ τὴν εὐσέβειαν ζήλου θερμότητα (σου)* KV   *τῆς περὶ τὴν εὐσ. ζ. θερμότητα* P   *ζήλου καὶ τῆς θερμότητος* B   33 *καὶ* om. KP   39 post *συμπαρομαρτούσης* add. *τῆς* B

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ







## *B′*

### B 129 ***Τῷ εὐλαβεστάτῳ καὶ λογιωτάτῳ ἐν ἱερεῦσι κυρῷ Νικήτᾳ τῷ Μυρσινιώτῃ. Ἐν Ῥόδῳ.***

*Τῆς ἐπιστολῆς ἥσθην μὲν καὶ τῷ κάλλει τῶν ὀνομάτων καὶ τῇ τῶν ἐννοιῶν πυκνότητι καὶ τῇ διὰ πάντων εὖ καὶ καλῶς ἐχούσῃ συνθήκῃ καὶ τοῖς ἄλλοις, οἷς τὰς καλὰς ἐπιστολὰς κοσμοῦσιν οἱ καλῶς ἐπιστέλλειν εἰδότες. Τοῦ μέντοι μέτρου καὶ μᾶλλον ἐπῄνεσα, ὅτι μηδέν, ἢ τῶν δεόντων*
5 *ἐνεῖναι, ταύτῃ ἐνέλιπες, ἢ τῶν μὴ δεόντων προσέθηκας, ἀλλ᾽ ἦν, ὅπερ ἂν εἴποι τις ἀληθεύων, καλή. Προσετίθεις δὲ τῷ κόσμῳ καὶ ὅπερ αὐτὸς ἐβουλόμην καὶ ὑπὲρ οὗ σοῦ πολλάκις δεδέημαι μέν, οὐκ ἔπειθον δέ, λέγω δή, τὸ ἀφελεῖν τῶν εἰς ἐμέ σου ἐγκωμίων πολύ, ἐρρῶσθαι φάσκων τῇ ἀμετρίᾳ. Οὕτω γοῦν γράφε, καὶ σαυτῷ καὶ ἐμοὶ τήρει τὸ μέτρον, ὃ παρὰ πάντων μὲν*
10 *ἐπαινούμενον οἶσθα, τηρούμενον δὲ πρὸς μόνων τῶν ἀρετῇ συζῆν αἱρουμένων. Ὡς τούτου χωρίς, μηδὲν αὐτοῖς τῶν πολλῶν κατορθωμάτων ὄφελος ὄν. Ὧν ἕνα καὶ σὲ πεπεισμένος βουλοίμην ἄν σε πανταχοῦ τὸ μέτρον τηρεῖν, τούτῳ καὶ τὸ μηδὲν ἄγαν προσάπτοντα. Ἄλλως θ᾽ ὅτι τοῖς παρὰ καιρὸν ἐπαίνοις, ἐμὲ μὲν οὐδὲν βελτίω ποιήσεις — οὐ γάρ, ὅπερ οὐκ εἰμι, τοῦτ᾽ εἶναί*
15 *με πιστεῦσαι ποτὲ πείσεις —, σὺ δέ, ἅπερ οὐδείς μοι σύνοιδε χαριζόμενος, πρὸς τῷ ψεύδεσθαι καὶ κόλακος δόξαν προσλήψῃ, ὃ σε παθεῖν οὐκ εἰκός, ἄνδρα τοῦ βίου παντὸς ἀλήθειαν προστησάμενον. Περὶ μὲν οὖν τούτου βουλεύσῃ,*

---

***B′*** Tit.: in marg. *διορθωτικὴ* codd.
4 *δεόντων* B   *ὄντων* codd.   8 *τῶν* : *τὸ* K *τὸ εἰς μέσον ἐγκωμίων* P   *μέσου ἐγκωμίων* B   *φάσκων* B   *φράσας* codd.   14 *ὅπερ*: *ὅπου* K

καὶ πάντως τοῦ λοιποῦ σαυτῷ καὶ ἐμοὶ συμμέτρους πέμψεις ἐπιστολάς, ἵνα
μὴ τὸ παρὰ τὸ πρέπον ἐπαινεῖν με, αἴτιόν σοι γένηται τοῦ τῶν ἐμῶν, ὧν
B 130 φῂς ἐρᾶν, ἐπιστολῶν στερηθῆναι· |σιγήσομαι γάρ, μὴ δόξω γράφειν ἐπαίνων
ἐπιθυμίᾳ.

Περὶ δὲ τῶν δὶς ἑπτὰ ζητημάτων, ὧν με ἠξίους ἐκθέσθαι σοι ἀνεπερ-
γάστως, ἰδοὺ ταῦτα ἐκτίθεμαί σοι, καὶ ὅσον οἷόν τε κατὰ σύνοψιν. Ὅτι ἡ
πάντων Κυρία Θεοτόκος, μετέστη μέν, οὐκ ἀνέστη δέ. Ὁ θεολόγος Ἰωάν-
25 νης ἀναμφιβόλως κεκοίμηται, πλὴν ἔτι τοῦτο ζητεῖται τοῖς πλείοσιν. Ὁ
θεοδόχος Συμεὼν ἱερεύς ἐστι, μὴ ἀμφίβαλλε. Αἱ τῶν ἁγίων ψυχαὶ ἐκεῖ εἰσιν,
ὅπου αὐτὸς ὁ Θεός, ἐν τῇ μελλούσῃ μακαριότητι. Τὴν γνῶσιν τῶν ὄντων
ᾗ ὄντων οὐχ ἕξουσι τελειοτέραν οἱ σοφοὶ τῶν ἀσόφων, οὐδέ γε οἱ ἐπιστή-
μονες τῶν ἰδιωτῶν, ἐπεὶ ἐν πᾶσι τοῖς οὖσι τὸ γινώσκειν ἓν καὶ τὸ γινωσκό-
30 μενον αὖ, ὁποῖον ἂν εἴποις, ἕν ἐστι. Πρὸς πάντων πατέρων καθαιρεθέντας
τοὺς τῶν Ἰταλῶν ἱερεῖς ἡγοῦ, καὶ πρό γε πάντων τὸν ἑαυτῶν πρόκριτον.
Τὰ μέντοι παρ' αὐτῶν ἱερουργούμενα ἅγια, ἅγια πάντα καὶ τέλεια νόμιζε,
καθάπερ ἄρα καὶ τὰ πρὸς τῶν ἐν ἡμῖν καθῃρημένων τελούμενα. Μέλλων
βασιλεύς, ὃν ἀκούεις οὕτω παρὰ πολλοῖς προᾳδόμενον, ὁ Χριστός ἐστιν.
35 Ἡ Πόλις οὔτε παραδοθήσεται τοῖς ἀπίστοις οὔτε ταὐτὰ τῇ Ἱερουσαλὴμ
πείσεται, ἐπεὶ οὐχ ὅμοια ἥμαρτε. Πεφόνευται Ζαχαρίας ὁ τοῦ Προδρόμου
πατήρ, τῷ τὴν Θεοτόκον ἱστᾶν μετὰ τῶν παρθένων. Εἴ γε οὐ προκόπτουσιν
ὅλως οἱ ἄγγελοι, ἢ ὡς ἄλογοι μένουσιν ἐν αἰσθήσει ἢ καταληπτὸν αὐτοῖς
τὸ ἄπειρον γέγονεν, ἅπερ ἀμφότερα πρὸς τῷ ψεύδει καὶ τὸ βλάσφημον ἐπι-
40 φέρεται. Ὁ Χρυσόστομος οὐκ ἐμνήσθη τοῦ Θεολόγου ἐν τοῖς οἰκείοις συγ-
γράμμασιν, ὅτι μηδ' ὁ Λουκᾶς τοῦ Ματθαίου ἢ τοῦ Ἡσαΐου ὁ Δανιήλ. Εἰς
ἀρετὴν οὐ προκόπτομεν, ὅτι καὶ πρὸ τοῦ τὸ καλὸν τελέσαι, ἐπιχειρῆσαι δὲ
τοῦτο μόνον, οὐχ ὡς ὀφείλοντες τοῦτο, ἀλλ' ὡς μεγάλα τινὰ τῷ Θεῷ χαρι-
σάμενοι διακείμεθα, καὶ ὀφειλέτην αὐτὸν ἔχειν εὐθὺς φανταζόμεθα, καὶ
45 τοὺς λοιποὺς ἅπαντας, ὡς μὴ τοῦτο κατωρθωκότας, εὐτελεστέρους ἡμῶν
αὐτίκα καὶ Θεῷ ἀποστόργους ἡγούμεθα. Ὅταν παραδῷ τὴν βασιλείαν τῷ
Θεῷ καὶ Πατρί, οὐκ ἀποθήσει, φησίν, ἀλλ' ὅτι ταύτην ὑφ' ἑτέρων κατεχομέ-
B 131 νην ἐκσπάσας, προσάξει τῷ ἰδίῳ Πατρί. Ὅτι ἡ μὲν ὄψις τὰ τῶν | σωμάτων
ἐπιπόλαια μόνον βλέπει, ἡ δ' ἀκοὴ τὰ τῶν ψυχῶν βάθη καὶ πάντα τὰ νοητὰ
50 παρέχει ἡμῖν καθορᾶν, τῆς πρώτης ἡ δευτέρα χρησιμωτέρα.

Οὕτω μὲν οὖν ταῦτά σοι λέλυται τὰ ζητήματα. Σὺ δ' ἐν πᾶσιν ἐν οἷς
ἀπορεῖς τὰς αἰτίας, τούτων τὰς λύσεις τῷ μέλλοντι ταμιεύου αἰῶνι ἐν Πνεύ-
ματι.

Ἐρρωμένος εἴης καὶ ὑγιαίνων ψυχῇ τε καὶ σώματι, τῆς θείας σοι χά-

---

28 ᾗ: ἢ KV 38 *ἐν αἰσθήσει* om. B 39 *ἄμφω* KP *τὸ ψεύδη* P 43-44 *χαρι-σάμενοι* B *χαριστάμενοι* codd. 46 *ἀποστόργους*: *ἀστόργους* B 49 *βλέπειν* KPV



55 ριτος ἀεὶ συνεργούσης καὶ ἅπαν ἀβούλητον τιθεμένης ἀτέλεστον. Τοῦ ἐν
μοναχοῖς ἐλαχίστου Ἰωσήφ, ὃν τὴν ἐπίκλησιν ἡ φήμη Βρυέννιον οἶδε καλεῖν.

# ΠΙΝΑΚΕΣ

## Ι ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ



## ΙΙ ΛΕΞΕΩΝ

## Γ'

B 131 ***Τῷ μεγάλῳ χαρτοφύλακι τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης 'Εκκλησίας καὶ ἀρχιδιακόνῳ κυρῷ 'Ιωάννῃ τῷ 'Ολοβόλῳ. 'Εν τῇ Βασιλευούσῃ τῶν Πόλεων.***

*῎Επεισιν εὐδαιμονίζειν καὶ κατὰ τοῦτό με τὴν βασίλειον πόλιν, καὶ εὐ-
φημισμῶν ὅσων αὐτὴν καὶ μακαρισμῶν ἀξιοῦν, ἐφ' ᾧ τοιούσδε πολίτας πε-
πλούτηκεν, εὐγενεῖς τὸ σῶμα, εὐγενεῖς τὴν ψυχήν, πλουσίους τοῖς χρήμασιν,
ὀλβίους τὴν ἀρετήν, ἐνδόξους τε ἀξιώμασι, λαμπροὺς τὴν σοφίαν, οἷόν μοι
5 καὶ σέ, πανολβιώτατε, αὕτη προήνεγκε. Καὶ γὰρ τοσοῦτόν σου τὸ ἐν πᾶσι
καλοῖς περιδέξιον πέφυκε, λέγω δὴ τὸ τοῦ γένους ἐπίσημον, τὸ πρὸς τὴν εἰς
Θεὸν εὐσέβειαν θερμὸν καὶ διάπυρον, τὸ πρὸς πᾶσαν ἀρετῆς ἰδέαν ἐπιρρεπές,
τὸ ἀγχίνουν τῆς διανοίας καὶ ὀξὺ καὶ οὐχ ἥκιστα εὐεπήβολον, ὡς καὶ πολλοὺς
ἐρᾶν σοῦ διερεθίζειν, καὶ πρὶν ὄψεως θεατὰς γενέσθαι τῆς σῆς καὶ τῶν σῶν
10 καλῶν ἀπολαῦσαι ὁπωστιοῦν ἢ τῆς σῆς ὅλως φιλίας πεῖραν σχεῖν. 'Εγὼ δὲ
B 132 καὶ ἀκοῇ ὠτὸς ἤκουσά σου καὶ | αὐταῖς εἶδόν σε ὄψεσι καὶ λόγων κοι-
νωνὸς ἐγενόμην καὶ σύνειμί σοι ἀεὶ τῇ ψυχῇ. Καί σου τῷ ἱμέρῳ τυραννηθεὶς
καὶ τῶν ἐρώτων ἁλώσιμος γεγονώς, πειρῶμαι καὶ διὰ τοῦ παρόντος σε
ἐπισπάσασθαι γράμματος· τοιοῦτόν μοι, θαυμάσιε, τὸ πρὸς σὲ διακείμενον
15 καὶ τοιαῦταί με ἐλπίδες εἰς τὴν σὴν προσδιαλαλιὰν διὰ τῆς παρούσης ἐπιστο-
λῆς κεκινήκασι. Πείθει γάρ με, ὡς οὐκ ἀνεπίστροφά σοι ἔσται τὰ καθ' ἡμᾶς,
πρῶτον μὲν ἡ προενυπάρξασα πρός με φιλία τῆς σῆς λογιότητος, εἶτα καὶ
συχναὶ ταύτης ἐπαγγελίαι ἡνίκα ἐξερχομένου μου τῆς Πόλεως ὑπισχνοῦ
μηδαμῶς ἐπιλήσεσθαι, ἔπειτα καὶ ἡ ἐμπεφυκυῖα τῶν τρόπων σοι ἐπιείκεια,
20 ἥ σε ἄρα καὶ πρὸς εὔνοιαν οὐ τὴν εἰς ἐμὲ μόνον κινήσειεν ἄν, ἐσχηκότα ἴσως
τὸ ἐπαγωγὸν ἔκ τε τῆς πάλαι συνηθείας καὶ τῶν λόγων αὐτῶν, ἀλλὰ καὶ
τὸν ὁπωσδήποτε ἔχοντα, κἂν καὶ ὁ λίαν ᾖ εὐτελέστατος. 'Επαίνους μὲν οὖν
διεξιέναι τοὺς σούς, καὶ ὅσοις σε φύσις ἅμα καὶ τρόπος ἐκόσμησαν τοῖς κα-*

---

***Γ'*** Tit.: in marg. *ἐγκωμιαστικὴ* codd. *ἁγιωτάτης* om. P
1 *με τὴν* KPV *μὲν τὴν* B 1-2 *εὐφημιῶν* B 5 *σοι τὸ ἐν πᾶσι* B *τὸ ἐν πᾶσί σου* codd. 8 *εὐεπήβολον* VB *εὐεπήβουλον* KP 10 *πεῖραν φιλίας* KPV
20 *καὶ* om. B 22 *τὸν* om. B





*λοῖς, μακρῶν ἂν ἡμῖν δεήσειε λόγων καὶ μείζονος ἄρα ἢ κατὰ τὸν παρόντα
25 καιρόν· εὐχαῖς δέ σε ἀντὶ τούτων δεῖν ἔγνων τὸ τέως φιλοφρονήσασθαι,
ὅπερ ἄρα καὶ σοὶ ποθεινότερον. Εὔχομαι οὖν ἐπὶ πολὺ μὲν τὸν τοῦ παρόντος
βίου ἐκταθῆναί σοι δρόμον, χρησίμης, εὖ οἶδα, οὔσης σου τῆς ζωῆς εἰς πολ-
λῶν λυσιτέλειαν, εὐμαρῶς δέ σοι τοῦτον καὶ πάσης ὕπερθεν δυσχερείας ἀνύε-
σθαι. Τῶν μέντοι σοι κατ' ἀρετὴν προτερημάτων ὁσημέραι ἐπιδιδόντων,
30 ἀεὶ πρὸς τὸ ἔμπροσθεν ἐπεκτείναιο καὶ Θεοῦ ἐγγύτερον γένοιο, μέχρις ἄν,
τῆς τοῦ βίου προθεσμίας διηνυσμένης σοι, τρανότερον αὐτῷ προσπελάσῃς
καὶ καθαρώτερον. Εἰς παῖδάς σοι καὶ ἀπογόνους ἄχρι καὶ αἰῶνος τερμάτων,
τὸ κατὰ τὸν βίον ἅμα καὶ τὴν ἀρετὴν διαβαίη εὐδόκιμον.*

*'Αλλὰ ταῦτα μὲν τὰ ἐμά. Εὔχου δὲ καὶ αὐτός μοι διὰ τὸν Κύριον. Καὶ
35 εἴ τινα οἶδας αὐτόθι ἄνθρωπον τοῦ Θεοῦ, ἀξίωσον ἀντ' ἐμοῦ μεμνῆσθαί μου
ἐν ταῖς αὐτοῦ πρὸς Θεὸν εὐχαῖς, ὡς ἂν τὸ λοιπὸν τῆς ἐμῆς ζωῆς εἰς μετά-
νοιαν φυλάξας μὴ μόνον ἀνώτερος τῶν τοῦ πονηροῦ ἐπιβουλῶν ἐν τῷ παρόντι
B 133 βίῳ ἀναδειχθῶ, ἀλλὰ κἀκεῖσε τύχω τῆς μακαρίας ζωῆς. Οἶσθα | γὰρ τῶν
ἀνθρωπίνων τὸ ἐπίκηρον, ὡς ποταμίων ῥευμάτων μιμεῖται φύσιν, καὶ ὡς
40 ἐκείνους μόνους χρὴ μακαρίζειν, τοὺς μετὰ χρηστῆς ἐλπίδος καταλύοντας
τὸν παρόντα βίον· οὐ γὰρ ἐπὶ θάνατον ἔρχονται, ἀλλ' ἀπὸ τῶν ἀγώνων ἐπὶ
τὰ βραβεῖα, ἀπὸ τῶν παλαισμάτων ἐπὶ τοὺς στεφάνους, ἀπὸ τῆς τεταραγμέ-
νης θαλάσσης ἐπὶ λιμένα ἀκύμαντον. Καὶ ταῦτα τίνες; οἱ ἀγαθοὶ καὶ πιστοὶ
δοῦλοι, οἱ φρόνιμοι οἰκονόμοι, οἱ ἐργάται τῆς ἀρετῆς. 'Εμοὶ δὲ πολλῶν εὐ-
45 χῶν χρεία, ἁμαρτίαις ἄλλως ὑπόχρεῳ γεγονότι, καὶ διὰ ταύτας ὑπευθύνῳ
κολάσεσι χρηματίσαντι, ὧν λυτρωθείην ταῖς σαῖς ἁγίαις εὐχαῖς.*

*'Ερρωμένος εἴης καὶ εὐεκτῶν, ὦ θειότατε, καί σοι ὁ ἔξωθεν ἄνθρωπος
συνευεκτοίη τῷ ἔνδοθεν. Τοῦ πάντα καὶ φιλοῦντος τὰ σὰ καὶ θαυμάζοντος
'Ιωσὴφ μοναχοῦ τοῦ Βρυεννίου.*

---

25 *σε* om. KPV 26 post *οὖν* add. *καὶ* B 28 *πάσης* : *ἁπάσης* codd. 36 *εὐχαῖς* : *προσευχαῖς* codd. 36-37 *ἐν μετανοίᾳ* codd. 39 *ἀνθρώπων* B 46 *κολάσεως* B

### ΠΙΝΑΞ ΛΕΞΕΩΝ

## Δ′

### Τῷ σοφωτάτῳ ἀνδρῶν Δημητρίῳ τῷ Κυδώνῃ. Ἐν Βενετίᾳ.

*Διάτορόν τι μέγα καὶ διαπρύσιον τῆς θερμῆς σου καὶ γνησίας ἀγάπης ἡ σάλπιγξ, ἐκ τοσούτου πνεύσασα διαστήματος, καὶ μέχρις ἡμῶν ἤχησε καὶ ἐν τρικυμίᾳ με λογισμῶν καθεστῶτα διανέστησέ τε ἅμα καὶ ηὔφρανε καὶ εἰς λήθην παντὸς ἀφικέσθαι δεινοῦ παρεσκεύασε. Τοιοῦτος σὺ φίλος ἀεί, καὶ (5) τοιαῦτά σοι τὰ πρός με συνήθη, χαίρων ὁπότε τι κέκτημαι τῶν καλῶν καὶ*

---

Δ′ Tit.: in marg. *ἀνακλητικὴ* codd.
3 *τε* om. B 4 *φίλτατος* P



*ἀχθόμενος ἐν τῷ κακῶς με πράττειν, σπουδαῖον ὄντα ἐπαινῶν καὶ ναρκῶντα ἐπεγείρων. Ἀμέλει σοι καὶ χάριτας οἶδα καὶ τοῖς συνοῦσι ταύτας ὁμολογῶ, καί γε εὔχομαι τῆς βασιλίδος εἰς βασίλεια ἐπανελθόντα σε ὅσον οὔπω πυθέσθαι. Καὶ γὰρ ἐμοὶ τὴν σὴν ἀποστασίαν ἐνθυμουμένῳ τὸ ταλαί- (10) πωρον ἡμῶν γένος ταλανίζειν ἔπεισι καὶ ἀποδύρεσθαι τῆς ζημίας, ἄνδρα τοιοῦτον ἀποβαλόν, ὃς τὰ μέγιστα μὲν ἂν εἰς κόσμον αὐτῷ συνετέλει καὶ καύχημα, μέγιστον δ᾽ ἂν εἶχε δ᾽ αὐτοῦ τὸ κράτος ἐν δόγμασι, κράτιστά τε αὖ τοὺς ἀντιθέτους κατηγωνίζετο. Νῦν δέ, ὃν ἂν χρείαν εἶχε γλώττης ἀποπληροῦντα ἢ ὅπλου ὀχυρωτάτου ἡ καθ᾽ ἡμᾶς Ἐκκλησία, τούτου αὐτῆς ἀπο- (15) σκιρτῶντος, κἂν μὴ εὐκαταγώνιστος τοῖς πολεμοῦσι καθίσταται, ἀλλά γε εἶναι δοκεῖ. Καὶ εἴθε τὴν ἐκείνου ἔπασχε μόνον ἀποβολήν· νῦν δὲ τοῦτο λίαν ἐλεεινότερον, ὅτι πρὸς τῷ τῆς ἐκεῖθεν ἐκπεσεῖν συμμαχίας, καὶ ἐχθρὸν αὐτὸν κέκτηται καὶ πολέμιον. Τίνα τοῦτον; ὃν αὐτὴ φεῦ! ἐγείνατό τε καὶ ἔθρεψε. Καὶ τιμῆς μὲν ἕνεκεν τῆς πρὸς τοὺς γεννήτορας μεγίστης ἐπαγγελλομένης (20) ἀμοιβῆς, οὐχ ἧττονος δὲ τῆς ἐπὶ τῇ παροινίᾳ ποινῆς ἐπισειομένης, οὐκ οἶδα τί παθὼν αὐτὸς καὶ ἀμφοῖν ἀλογῶν, τῇ εἰς φῶς ἐνεγκούσῃ τὸ νοητόν, ῥαγδαίως συρρήγνυσαι καὶ μαζοὺς ἀτιμάζεις, ὡς ἀκούω, τοὺς θρέψαντας, δέον εἰ καὶ ἐπιληψίμως ἔν τισιν εἶχε τὰ κατ᾽ αὐτήν, ἀποκρύπτειν πειρᾶσθαι τὸ αἶσχος, οὐ μέντοι γε ἐκπομπεύειν. Οὐδὲ γὰρ τὴν πατρικὴν ἐπιτωθάσας γύ- (25) μνωσιν Χάμ, τὴν ἀξίαν δίκην διέδρα, ἀλλ᾽ οἶσθα πάντως ἃ πέπονθεν. Εἰ γάρ σοι δι᾽ ἔξωρον ἡλικίαν ἡ μήτηρ ἀμβλυτέραν εἶχε τὴν αἴσθησιν καί τι τοῦ καθήκοντος διημάρτανεν, ἐμυκτήρισας ἄν; ἀλλ᾽ οὐκ ἂν ὑπαίτιος ἦς καὶ Θεῷ καὶ ἀνθρώποις τοῦτό γε δρῶν; Παντί που σαφές. Ἢ ἀγνοεῖς ὅσον μὲν τῷ ἀοράτῳ Πατρὶ τὸ γονεῖς τιμᾶν ἠξίωται λόγου, οἷα δὲ δίκη τοῖς πατρα- (30) λοίαις ἐπήρτηται; Πολλῷ οὖν μᾶλλον τὴν πνευματικῶς ὠδινήσασαν καὶ μαζῷ τῶν θείων λόγων ἐκθρέψασαν καὶ εἰς τόδε σε ἡλικίας προαγαγοῦσαν ἔδει τιμᾶν, καὶ εἰ σύνοιδάς τι τῶν ὑπεναντίων αὐτῇ. Εἰ γὰρ ἀτεχνῶς αὐτῇ τοιόνδε τι συνῄδεις, περιστέλλειν ἐχρῆν, ἀλλ᾽ οὐ πάντως ἀπογυμνοῦν. Οἶσθα γὰρ καὶ τῶν παίδων τοῖς τοῦ Νῶε τὴν γύμνωσιν συγκαλύψασιν οἷα χάρις ἀντε- (35) μετρήθη παρὰ τοῦ φύσαντος. Ἀλλὰ χάρις τῷ ὑπὲρ ταύτης τὸ ἴδιον αἷμα ἐκχέαντι, ὅτι οὐ μόνον αὕτη ἐν οὐδενὶ ἐπιλήψιμος, ἀλλ᾽ ὅτι μόνη ὀρθὴ καὶ ἀληθὴς καὶ ἐξαίρετος.*

*Ἀλλὰ περὶ μὲν τῆς εἰς τὴν Μητέρα ἐπανόδου αὐτὸς βουλεύσῃ σοφῶς· καὶ εὐφρανεῖς αὐτὴν τοῖς ὑστέροις, ὡς τοῖς προτέροις ἐλύπησας. Ἡμεῖς δὲ (40) περὶ τῆς φθασάσης σιγῆς ἐκεῖνό σοι καθάπαξ ἀπολογούμεθα, ὡς οὐ γνώμης*

---

25 Γέν. θ′ 22 34 Γέν. θ′ 23

---

21 *τῇ*: *τὸ* KP 27-28 *καὶ Θεῷ* om. PV 32 *καὶ εἰ σύν. τι τῶν* (*ὑπ᾽ αἰτίαν* V) *ὑπαιτίων* VB *εἰ*[1] om. KP

*διαστροφῇ οὐδ᾽ ἀμελείᾳ περὶ τὰ καλὰ καὶ τῶν τοιούτων φίλων λήθῃ ⟨ἑάλωμεν⟩· ἀλλὰ τὸ καταπιέζον καὶ τρύχον ἡμᾶς ἄλγος οἶσθα, ὑφ᾽ οὗ καὶ τῶν ἔγγιστα φίλων καὶ ἡμῶν αὐτῶν ἐπιλελῆσθαι βιάζομαι. Πλήν, καίπερ οὕτω τὴν κεφαλὴν πάσχων, σοῦ τῆς φίλης κεφαλῆς οὐδαμῶς ἐπιλέλησμαι. Τὸ γὰρ*
45 *γνήσιον τῆς πρὸς ἐμέ σου ἀφάτου στοργῆς διηνεκῆ μοι τὴν σὴν μνήμην ἐντίθησι. Καί σου τὴν ὄψιν ἀεὶ φαντάζεσθαι πείθει καὶ μηδ᾽ ἀναπνεῖν σχεδὸν ἄνευ τοῦ τὰ σὰ διιέναι τοῖς φίλοις ἀφίησι. Τάδ᾽ ἐστι τὸ τῆς σοφίας ὕψος, ἡ περὶ λόγους εὐφυΐα, ἡ διαρκὴς περὶ τὰς ἀναλογίας σπουδή, τὸ τάχος τῆς διανοίας, τὸ πλῆθος τῶν μαθημάτων, ἡ περὶ τὴν ἑρμηνείαν τῆς Ῥω-*
50 *μαίων φωνῆς πρὸς τὴν Ἕλληνα γλῶτταν ἀκρίβεια, τὸ σῆς σωφροσύνης χρῆμα, τὸ ταπεινὸν σχῆμα, τὸ μέτριον φρόνημα, τὸ ῥεῦμα τῆς γλώττης καὶ τὸ τῆς φωνῆς κάλλος, οὐκ ἐμὲ δὴ μόνον ἀλλὰ καὶ πάντας ἄγον εἰς ἔκπληξιν. Τούτων ἕν τις λαβών, πόσους ἂν διεξέλθοι λόγους; ἢ πόσους ἂν εἰπών, ἱκανῶς εἰπὼν νομισθείη καὶ ἀποχρώντως τῷ πράγματι;*

55 *Οὕτως ἡμεῖς μὲν πρὸς σέ, θαυμάσιε, διακείμεθα· αὐτὸς δὲ θᾶττον ἐπανέλθοις εἰς τὴν Πατρίδα καὶ τῆς σῆς σοφίας εὕροις καὶ τέλος ἐπάξιον. Ἡ χάρις τοῦ Θεοῦ ἄχρις ἡλίων πολλῶν περιόδους εἴη σε περιέπουσα. Τοῦ ὃν φιλεῖς διαφερόντως Ἰωσὴφ Βρυεννίου, πιστοτάτου σου φίλου, καὶ κατὰ Θεὸν ἀγαπῶντός σε.*

---

41 *τὸν τοιοῦτον τῶν φίλων* V 41-42 *ἑάλωμεν* add. B 44 *φίλης* om. P 48 *εὐφυΐας* KP *περὶ τοὺς λ.* B 56 *τῆς* om. P 57 *ἡλίου πολλῶν περιόδων* B

ΠΙΝΑΞ ΛΕΞΕΩΝ







## *Ε′*

B 136 ***Τῷ παναγιωτάτῳ μοι δεσπότῃ Δωροθέῳ τῷ τῶν Ἱεροσολύμων πατριάρχῃ. Εἰς τὴν Ἱερουσαλήμ.***

*Τὸ μὲν ἀλλήλους ἐπ᾽ ἴσης φιλεῖν, ὡς ἡ σὴ θεσπεσία φωνή, θειότατε, ἀπεφήνατο, καὶ Θεῷ φίλον καὶ τῇ καλλίστῃ τῶν τρόπων ἀρετῇ συμβαῖνον, ἣν δήπου τὸ τῆς ἀγάπης καλὸν συνίστησιν. Ἐκεῖνο δ᾽ ἴσως οὐ μετὰ τῆς αὐτῆς εὐπορίας μοι πάρεστι, τὸ διὰ καλῶν γραμμάτων ἔχειν εὐφραίνειν σε,*
5 *τὴν οὕτω θαυμασίαν κεφαλὴν καὶ αἰδέσιμον. Ὅπερ αὐτὸς ἤδη πεποίηκας καὶ ποιεῖν σὺν ὥρᾳ δύναιο, τοῖς τε πάλαι, πολλοῖς ἱδρῶσι συνηθροισμένοις χρώμενος λόγοις καὶ τῇ μακαρίᾳ ταύτῃ σχολῇ, ᾗ ποιεῖς μὲν τὸ σῶμα εὔρωστον, τῶν ἀγοραίων τούτων ὑπεξέλκων αὐτὸ θορύβων. Ποιεῖς δὲ καὶ τὴν ψυχὴν βελτίω, μόνος ἐντυγχάνων μόνῳ Θεῷ καὶ τὴν καλὴν ταύτην καρπού-*
10 *μενος θυμηδίαν ἐν τῇ τῶν ἀεὶ θεωρίᾳ μενόντων, ὀλίγα, εἰ μὴ ἐφ᾽ οἷς ἡ τῆς φύσεως ἀσθένεια πείθει, τοῖς περὶ τὸ σῶμα προσέχων· καὶ ταῦτα ποῦ; ἐν*
B 137 *γῇ τῆς ἐπαγγελίας, ἐν Σιὼν τῷ Ὄρει, ἐν τῇ ἁγίᾳ Πόλει. Ἐμοὶ δ᾽ ἐν|ταῦθα μυρίαι τὸν νοῦν βαπτίζουσιν ἀσχολίαι· καὶ νῦν μὲν ἀνάγκη τοῦτον καταλλάττειν ἐκείνῳ, νῦν δὲ προσιόντι τὰ ὦτα διδόναι. Καὶ ποτὲ μὲν τῷ ἀδικουμένῳ*
15 *συνηγορεῖν, ὁτὲ δὲ τὸν ἀδικοῦντα ἐλέγχειν. Καὶ νῦν μὲν τὰ τῆς μονῆς διεξάγειν, νῦν δὲ καὶ τοῖς ἔξωθεν ἐπιρρέουσι ῥανίδα τινὰ τῶν ἱερῶν λόγων ἐπομβρίζειν, καθ᾽ ἑκάστην ἀπαιτοῦσι τοῦτο καὶ τῇ σιγῇ δυσχεραίνουσι καὶ ῥαθυμίαν τινὰ ἐγκαλοῦσι, καὶ τὴν δικαίαν εὐλάβειαν καὶ τοῦ ἐμαυτοῦ βίου καὶ τῶν λόγων ἐπίγνωσιν, ὡς οὐχ ἱκανὰ πρὸς τάδε, τρυφήν τινα καὶ μαλα-*

---

***Ε′*** Tit.: in marg. *ἀπαιτητικὴ* KV 2 *τὴν* add. B
1 *ἐπ᾽ ἴσης* om. B 5 *ἤδη τε* codd. *ἤδη* B 6 *πάλαι: πάλιν* K 10 *θεωρίᾳ μὲν ὄντων* KP 14 *προσιόντι* B *τῷ προσιόντι* codd. 16 *τοῖς* om KB 17 *καὶ (τῇ) σιγῇ* B

20 *κίαν καλοῦσι. Τούτοις οὖν κωλυόμενος οὔτε καλὰς οὔτε συχνὰς πέμπειν ἄν σοι δυναίμην ἐπιστολάς, ἀλλὰ καὶ οὕτω διακειμένῳ, οὐ παραιτητέον μοι τὸ γράψαι ἐκρίθη τῇ σῇ ἁγιότητι. Τὸ γὰρ ἐπιστέλλειν προσδιάλεξίς τις οἷόν ἐστι καὶ συλλαλιά, ὡς παρὼν παρόντι δῆθεν προσδιαλεγομένου τῷ ἀπόντι τοῦ γράφοντος. Τὸ οὖν ὡς παρόντι, παναγιώτατε, σοὶ προσδιαλέγεσθαι γρά-*
25 *φοντα, ὀνησιμώτατον ἐμοὶ καὶ λίαν εὐφραντικώτατον. Εἰ γὰρ καὶ ψιλὴ τῶν κεχαρισμένων μνήμη Θεῷ ἥδει τὴν ψυχὴν καὶ ὀνίνησι, πολλῷ μᾶλλον τὸ καὶ λογικῶς συγγίγνεσθαι καὶ διάγειν ἐν τῇ τούτων προσλαλιᾷ, ἄμφω ταῦτα περιποιήσαιτο ἄν. Τοῦτο οὖν περιποιούμενος καὶ αὐτός, εἰς τὸ ἐπιστεῖλαι σοι ἤδη κεκίνημαι. Χαίροις τοίνυν τῷ ἀξιώματι, καὶ ἔρρωσο τὸν ἔσωθέν τε*
30 *καὶ τὸν ἔξωθεν ἄνθρωπον, ὥσπερ, εὖ οἶδα, καὶ ἔρρωσαι· κἂν μὴ τὸν ἔξωθεν ἴσως, ἧττον τούτου πεφροντικώς, μᾶλλον δὲ καὶ ἐκτήκων αὐτὸν καὶ πιέζων τοῖς πόνοις τῆς ἀρετῆς, τὸν μέντοι νοούμενον. Εἰ δέ σοι καὶ ὁ ὁρώμενος ἔρρωται, καὶ τοῦτο ἔστω σοι μὴ μικρὸν πρὸς τὴν τῶν κρειττόνων ἐπίδοσιν ἐπικούρημα. Ὡς ἂν δι' ἀμφοῖν κατορθοῖτό σοι τὸ εὐδόκιμον, καὶ ἡ πρὸς*
35 *Θεὸν ἀνάτασις εὐχερῶς ἐξανύοιτο, ἐκλανθανομένῳ μὲν τῶν ὄπισθεν, τοῖς δὲ ἔμπροσθεν ἀεὶ ἐκτεινομένῳ, καὶ ἀπὸ δυνάμεως εἰς δύναμιν, ἀπὸ δόξης τε εἰς δόξαν προβαίνοντι. Καὶ ταῦτα μὲν τὰ ἡμῶν.*

*Ἡ σὴ δὲ μεγαλειότης τὸ ἡμέτερον εὔγνωμον τοῦτο προσηκαμένη, εὐνοίας καὶ στοργῆς, πρὸς ἣν ἡμεῖς τὴν σὴν ἐκκαλούμεθα ψυχήν, μὴ ἀπαξιώ-*
B 138 *σῃς τὸ καθ' ἡμᾶς, ἀλλ' ἐπιστράφηθι τούτου πα|τρικῶς καὶ ἀγάπησον καὶ Θεὸν πρὸς σπλάγχνα κίνησον οἰκτιρμῶν, τῇ σαυτοῦ πρὸς αὐτὸν παρρησίᾳ καὶ οἰκειότητι. Κἂν γὰρ αὐτὸς ἀφέστηκα τῇ τῶν τρόπων ἀνοικειότητι, ἀλλ' αὐτὸς τῇ πρὸς αὐτὸν ἐγγύτητι προσοικειώσεις με τούτῳ, πολλῷ τῷ μέσῳ τοὺς πάντας παρενεγκὼν καὶ ἀμέσως αὐτῷ συγγινόμενος καὶ οὐ μόνον ἐκ τοῦ*
45 *ἀξιώματος ἔχων τὸ ἐπαγωγόν, ἀλλὰ καὶ ἐκ τῆς ἀρετῆς μᾶλλον. Οἱ κατ' αὐτὴν γὰρ ἱδρῶτες καὶ οἱ μυρίοι ἀνέκαθεν ἆθλοι καὶ ἡ πρὸς τοὺς ἀοράτους ἀντιπάλους ἄχρι καὶ εἰς τόδε σου τῆς ἡλικίας ἀντίστασις πῶς οὐχὶ τὴν θείαν σοι συγκινήσουσιν εὔνοιαν καὶ πρὸς ἃ παρὰ Θεοῦ αἰτεῖς εὐεπήκοον θήσουσιν; Ὄφελον οὖν τῶν σῶν ἀξιωθείην εὐχῶν! Οὕτω γὰρ ἵλεων τὸ θεῖόν μοι, ἐφ' οἷς*
50 *ἑάλων πλημμελήσας, ἂν εἴη μοι. Εἴη σοι καὶ ὁ ἔξω ἄνθρωπος τῷ ἔνδον συνευεκτῶν, καί σου ταῖς πρὸς τὸ θεῖον ἐντεύξεσι τύχοιμι σωτηρίας κἀγώ. Τοῦ ἐν μοναχοῖς οἰκτροτάτου καὶ ἀχρείου δούλου τῆς σῆς ἁγιότητος Ἰωσὴφ Βρυεννίου.*

---

31 *τοῦτο* KPB 35 *εὐχερῶς* om. B 36 *ἐπεκτεινομένῳ* V 38 *ἡ δὲ σὴ μεγ.* B 40 *ἐπιστράφητι* PV 47 *καὶ* om. B 49 *μοι* om. B



## ΠΙΝΑΞ ΛΕΞΕΩΝ

## Ϛʹ

B 138 ***Τῷ σοφωτάτῳ ἀνδρί, ἀρετῆς τε ἄκρῳ φίλῳ καὶ πίστεως κυρῷ Νικολάῳ τῷ Καβάσιλᾳ· Ἐν Κωνσταντινουπόλει.***

*Ἀλλ᾽ οὐ μόνος ἐγὼ τῆς σῆς ἀγαπητικῆς ἐπιλήσμων διαθέσεως ἔσομαι
οὐδ᾽ οὕτως ἀπειρόκαλος ὀφθήσομαι καὶ ἀβέλτερος, ὡς οὗ πάντες ἐρῶσι δια-
καῶς μόνος γε αὐτὸς κατολιγωρεῖν κἂν μικρῷ τινι τίθεσθαι. Ἀλλ᾽ ὥσπερ
παρών σοι μέγα τι καὶ ἄφατον εἰς εὐφροσύνην ὠνάμην, οὕτω καὶ ἀπὼν σοῦ
5 τῆς μνήμης παραπολαύσομαι· καί μοι γράμμα τὸ ἄψυχον τῆς ψυχικῆς γενή-
σεται διαθέσεως σύμβολον. Ἀεὶ γὰρ τὸ ἧττον τῷ κρείττονι, καθ᾽ ὅσον ἧττόν
ἐστι, κατὰ τοσοῦτον χρὴ παρακολουθεῖν. Καίτοι, εἰ καὶ πολλῶν τινων ἐδέη-
σεν ἀναλωμάτων εἰς τὸ τυχεῖν πλούτου τοιοῦδε, οὐκ ἂν ἐφεισάμην, οὕτω δὲ
προῖκά μοι προκειμένου ὀλιγωρήσω τῆς ἐπιτεύξεως; Μᾶλλον δ᾽, ἵν᾽ εἴπω
10 τἀληθές, καὶ ἔτυχον τοῦ καλοῦ τούτου καὶ ὁ χρυσὸς αὐτόματός μοι ἐρρύη,
οἷον εἰπεῖν. Οὕτω γάρ σοι τὸ πεφυκὸς πρὸς ἅπαντας ἐπιρρεπέστατα ἔχει
δι᾽ ἤθους χρηστότητα, ὡς μηδένα εἶναι τῶν ἁπάντων, εἰ οἷον τ᾽ ἦν, ὃς οὐκ
ἂν διακορὴς ὤφθη μάλα καλῶν. Ἣν γὰρ ἐχρῆν τοὺς ἄλλους τιθέναι σπου-
δήν, ὥστε τῶν καλῶν ἐν ἀπολαύσει σου γίνεσθαι, αὐτὸς τὸ ἀνάπαλιν ταύτην
15 ποιῇ, ὡς ἂν εἰς κοινὴν ἀπόλαυσιν ἑκάστοις ταῦτα προκέοιτο, καὶ ῥεῖ ἐκ τῶν
σῶν φρενῶν ἐπὶ τοὺς ὁμιλοῦντας σύνεσις, ὥσπερ ἀπὸ τῶν χασμωμένων ἐπὶ
τοὺς ὁρῶντας ὕπνος. Διά τοι τοῦτο καὶ αὐτὸς διὰ στοργῆς ὅτι πλείστης ἄγω
πάντα τὰ σά, καὶ διακαῆ πρὸς τὴν σὴν σοφίαν τρέφω τὰ φίλτρα καὶ ἐκθυ-
μότατα τὰ χρηστά σοι ἐπεύχομαι. Ἔπεισί τε χάριν ὁμολογεῖν, χάριν σήν,
20 τῷ Θεῷ, οὐχ ὅπως ἐφ᾽ ᾧ εὐτυχέστατα ἔσχηκας — τί γὰρ μεῖζον εἰς εὐτύχημα
τοῦ τὸν αὐτὸν καὶ σοφὸν καὶ εὐδαίμονα εἶναί σε; — ἀλλὰ καὶ διὰ τοῦ τρό-
που τὸ λίαν φιλόκαλον ἢ μᾶλλον φιλόθεον· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ᾽ ὃ
πολλῷ χαριέστερον, ὅτι καὶ τῆς ἀκιβδήλου καὶ γνησίας μοίρας τελεῖς ἐν Χρι-
στιανοῖς· τοῦ νενοθευμένου δὲ καὶ κιβδήλου μέρους καθάπαξ ἀπήλλαξαι,
25 καὶ τὴν ἐκ πατέρων εὐσέβειαν ἀπαραποίητον φυλάττων, οὐδαμῶς τοῖς παρα-*

---

Ϛʹ Tit.: in marg. *διεγερτική*

1 *ἀγαπητικῆς* om. B 9 *μοι* om. P 12-13 *ὃς οὐκ ἂν τῶν σῶν διακ. ὤφθη μάλα* (*μάλα* om. B) *καλῶν* VB 18-19 *ἐκθύμως* P 19 post *χάριν*¹ add. *μοι* P 21 *ἀλλὰ* om. P 23 *γνησίας*: *τελείας* B 24 *καθάπερ* B



*χαράξασι ταύτην προσέσχηκας, ἀλλ᾽ οἷα δή τινων λελυμασμένων ἀτεχνῶς
θρεμμάτων ἔπαυλιν τὴν συναγωγὴν ἐκείνων ἀπειρηκὼς τῇ ὑγιαινούσῃ ποί-
μνῃ συντετάχθαι δεῖν ἔκρινας. Μακαριστέος ἄρα, ὦ θαυμάσιε σύ, πρῶτον
μὲν διὰ τὴν ἐν εὐδαιμονίᾳ ἀκρότητα, εἴπερ εὐδαίμων ἐστὶν ὁ τῷ μὲν σώματι
30 ὑγιής, τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν εὐπαίδευτος. Τὸ δεύτερον, διὰ
τὴν τοῦ τρόπου χρηστότητα, εἴπερ ἁπλῶς ἀγαθὸν μέν ἐστιν οὗ πάντα ἐφίε-
ται, τὸ δὲ τοῦ ἀνθρώπου ἀγαθόν, ὡς δὴ ἀνθρώπου, ψυχῆς ἐστιν ἐνέργεια,
κατ᾽ ἀρετὴν τὴν ἀρίστην καὶ τελειοτάτην ἐν βίῳ τελείῳ, ἧς δὴ αὐτὸς κατέλα-
βες τὴν ἀκρώρειαν. Καὶ τρίτον, διὰ τὴν ἐν τῇ πίστει ὀρθότητα, εἴπερ πίστις
35 ἐστὶν ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων, ὃ καὶ
τῶν πρὸ αὐτοῦ πολλῷ σφόδρα διαφορώτερον καὶ ὡς κορωνίς τις διάχρυσος
ἢ καὶ στέφανος τοῖς ἄλλοις σου τῶν πλεονεκτημάτων ἐπίκειται. Οὐκ ἔστιν
οὖν μέγα ἐπὶ σοὶ κομπάζειν τοῖς καθ᾽ ἡμῶν καὶ μεγάλην αἴρειν ὀφρύν, ἡμᾶς
δὲ ἐγκαλύπτεσθαι, μᾶλλον δὲ θρηνεῖν καὶ ὀδύρεσθαι, ὡς οὐκ ὄντος ἡμῖν σο-
40 φοῦ καὶ εὐδαίμονος ἄρχοντος· ἀλλ᾽ ᾤχετο πάντῃ τὰ καθ᾽ ἡμᾶς καὶ ἀπόλωλεν.*

*Ἄγε τοίνυν, ὦ βέλτιστε, χρῶ τῇ γλώττῃ καὶ ἐπιλαβόμενος παρρησίας
ἔλεγχε τοὺς τῷ βλασφημεῖν ἀρέσκειν ἡγουμένους τῇ ἀληθείᾳ· μετὰ τοῦ Πνεύ-
ματος τοῖς τῷ Πνεύματι μαχομένοις ἀντίστηθι· ποίησον τοὺς μύθους ἐκ
μέσου· συμμάχει Χριστῷ, τῷ δυνατῷ μὲν ἐπαρκεῖν αὐτῷ τῇ αὐτοῦ, ὡς φησὶ
45 τὸ λόγιον, δεξιᾷ, παρ᾽ ἡμῶν δὲ βοηθεῖσθαι ἀξιοῦντι τῶν ὑπ᾽ ἐκείνου καὶ
γενομένων καὶ σεσωσμένων, ὡς ἂν εἰσενεγκεῖν τι δοκοῖμεν καὶ αὐτοὶ ὑπὲρ
οὗ δικαίως ἂν τῆς ἐκείνου κοινωνίας τύχοιμεν.*

*Ἀλλ᾽ ἔλαθον ἐμαυτόν, τὸ τοῦ λόγου, ἵππον τρέχειν διδάσκων, δελφῖνα
νήχεσθαι καὶ ἀετὸν πέτεσθαι, οὕτως ὑπὸ τοῦ λόγου παρασυρείς. Ἵνα δὲ
50 ἐπανέλθω πρὸς τὴν εὐθεῖαν, τίς τοιοῦτον ὄντα σε, οὐκ ἂν ἀγασθείη; Τίς οὐκ
ἂν ἐρασθείη, μεθ᾽ ὅσου τοῦ περιιόντος, σοῦ; Ὡς ἔμοιγε καὶ παντὶ νοῦν ἔχοντι
καὶ μὴ ἀλογίᾳ συνεζευγμένῳ δοκεῖ, οὐκ ἔστιν ὅστις ἰδών σε μὴ εὐθὺς ἁλῶ-
ναί σου τῶν καλῶν τοῖς ἱμέροις. Ἐρῶμεν οὖν σου καὶ ἡμεῖς διὰ ταῦτα, ἐρᾷ
δέ σου πρὸ ἡμῶν ὁ Θεός, τῆς φίλης αὐτῷ ψυχῆς καὶ ὡς οἷόν τε μιμητικῆς
55 αὐτοῦ κατὰ τὸ φιλάνθρωπον.*

*Ἐπεὶ τοιγαροῦν, ὥς γε ἔφθην εἰπών, τοῦ καλοῦ τούτου χρήματος, τοῦ
κατὰ τὴν σὴν οἰκείωσιν, ἐπιτυχεῖν μοι τελεῖν ἐξεγένετο, καὶ ἥδομαι σφόδρα
τῷ εὐτυχήματι καὶ διὰ βίου συμπαραμένειν μοι εὔχομαι. Ταῦτ᾽ ἄρα καὶ τὸ
παραστατικὸν τοῦ πεφυκότος γράμμα τυπώσας ἀφίημι, πρὸς τὴν ἴσην σε
60 φροντίδα καὶ αὐτὸν ἐκκαλούμενος, ὡς ἂν τοῦτ᾽ εἴη ἡμῖν τῆς μνήμης τε, διὰ*

---

34 - 35 Ἑβρ. ια´ 1

---

29 *ἐν εὐδαιμονίᾳ* : *εὐδαιμονίας* B 30 post *τὸ* add. *δὲ* B 35 *ὃ*: *ὅτι* B 43 *ἀντίστητι* codd. 52-53 *ἁλῶ* B 53 *ἐρῶμέν σου τοίνυν* P 54 *ὁ* om. P 57 *ἐπιτυχεῖ* B 60 *τούτου* P

*βίου παντός, καὶ τοῦ φίλτρου ἐμπύρευμα.*

*'Ερρωμένος εἴης καὶ εὐεκτῶν ψυχῇ τε καὶ σώματι καὶ εἰς πολλὰς ἐτῶν περιόδους παντὸς ἀνιαροῦ ὑπέρτερος διακείμενος. Τοῦ τῶν σῶν λόγων διαπύρως ἐξηρτημένου, 'Ιωσὴφ τοῦ Βρυεννίου.*

---

64 *τοῦ* om. V

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ







## Ζ'

B 141 ***Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ πατρί, καθηγουμένῳ τῆς σεβασμίας καὶ βασιλικῆς μονῆς τῶν Στουδίου, ἀρχιμανδρίτῃ καὶ πρωτοσυγκέλλῳ κυρῷ Εὐθυμίῳ. 'Εν Βυζαντίῳ.***

*'Εμοὶ οὐ μόνον ἐπῄει μέγα φρονεῖν ἐπὶ τῇ σῇ, Πάτερ, σοφίᾳ, καθ' ἣν πάντων διήνεγκας, ἀλλ' ὅτι σοὶ τῆς σῆς μᾶλλον ψυχῆς ἔμελε, σφοδρῶς ἤρων σου. Καὶ νῦν μοι ἐπεσταλκότος σου, διακαέστερα τὰ τοῦ σοῦ κατέστη μοι ἔρωτος, καὶ ὁ σπινθὴρ τῆς ἀγάπης εἰς πυρσὸν ἀνῆπται ἀέριον, μετὰ τῆς εὐ-* 5 *φυΐας καὶ τὸ ἐπιεικὲς ἐκπληττομένῳ τῆς σῆς ἀγχινοίας, ὅθεν εἰς τὸ γράψαι κεκίνησαι, καὶ ζηλῶν σε τῆς σοφίας, καὶ τῶν ἄλλων καλῶν οἷς κεκόσμησαι, οὐχ ἧττον ἄγαμαι τοῦ προσηνοῦς τε καὶ μετριόφρονος. Καὶ οὐκ ἂν ἀποφαίην οὐδ' ἀπαγορεύσαιμι μὴ οὐχὶ κἀμὲ καὶ τοὺς πολλῷ τῷ μέσῳ διενεγκόντας ἐμοῦ τῶν σῶν ἐπιδεεῖς καλῶν εἶναι, καὶ δεῖν τούτοις τοῦ προσιέναι σοι* 10 *καὶ κομίζεσθαι τὰ λυσιτελῆ. Καὶ γὰρ τὸ χρῆμα τῆς ἀρετῆς ἅπαν μὲν παρήνεγκε τῆς ἐν λόγοις δυνάμεως φρύαγμα, πάσης δὲ ἀξίας, κἂν καὶ πνευματικὴ καὶ θεία αὕτη, ὑπερανέστηκεν· ἡ μὲν γὰρ ἀνθρωπίνη χάρις τὰ πολλά, καὶ ἄδηλον εἰ τῇ ἀνθρωπίνῃ καὶ ἡ θεία ψῆφος ἐφέπεται, τῇ κατ' ἀρετὴν δὲ γνησιότητι ἡ πρὸς τὸ θεῖον ἐγγύτης οὐκ ἀμφίβολος. 'Η δὲ ἄρα τῇ σῇ ἱερότητι*

---

**Ζ'** Tit. 2 *τῶν : τοῦ* codd. *τῶν* B in marg. *διαγγελτικὴ* codd.
3 *σφόδρα* B 5 *ἐκπληττομένῳ* B *ἐκπληττόμενον* codd. 10 *λυτελῆ* V 14 *οὐκ ἀμφίβολος* B *οὐκ ἂν ἀμφίβολος* KPV

B 142 *ἐκ | περιουσίας πεπλούτηται. Ὅτι δ' οὐ πρὸς χάριν τάδε μοι εἴρηται, μαρτυ-*
*ρεῖ τὰ σοῦ πέρι παρ' ἑκάστοις καὶ ἑκασταχοῦ διαθρυλούμενα. Ἡ γὰρ φήμη*
*τὰ σὰ προτερήματα πολλαχοῦ παραπέμψασα καὶ τοὺς μήπω τὴν σὴν ὄψιν*
*τεθεαμένους οὐκ εἰδήμονας μόνον τῶν σῶν, ἤδη δὲ καὶ ἄκρους κατέστησεν*
*ἐραστάς. Καὶ πάντες τῆς ἡδίστης σου γλώττης ἐκκρέμανται καὶ πάντας δή-*
20 *που κατακηλεῖς τῶν σῶν λόγων ταῖς ἴυγξι. Καὶ εἴ γε Ἡσιόδῳ πειστέον,*
*μὴ ἔωλον εἶναι διατεινομένῳ τὴν φήμην, ἥντινα λαοὶ πολλοὶ φημίζουσι, πει-*
*στέον ἄρα κἀμοὶ τοῖς τὰ σὰ διὰ πολλοῦ τοῦ θαύματος ἄγουσιν. Ὅπου γὰρ*
*πολλοὶ μὲν τελοῦσιν οἱ ἐκθειάζοντες καὶ ὥσπερ ἓν στόμα, καὶ γλῶσσα μία*
*πρός γε τοῦτο πάντες ὁρῶνται, μηδεὶς δὲ ὁ πρὸς μῶμόν τι γρύζων ὅλως,*
25 *μηδ' ἂν λίαν ὢν τυγχάνῃ ζηλοτυπώτατος, τίς οὕτως ἔσται φιλαιτιώτατος*
*ἢ δυσάρεστος, ὡς τοῖς πᾶσιν ὡμολογημένοις μὴ τίθεσθαι; Οὔκουν ἀπιστῶ*
*τοῖς περὶ σοῦ λεγομένοις, ἀλλὰ πείθομαι μὲν τοῖς λέγουσι, πολλοῖς ἅμα καὶ*
*γενναίοις οὖσιν, ὧν ὁ λόγος εἰς πίστιν οὐχ ἥκιστα ἀξιόχρεως, πείθομαι δὲ καὶ*
*ἐμαυτῷ, ὡς μᾶλλον τῶν ἄλλων τὴν ἐμὴν ὄψιν τῶν σῶν κτησάμενος μάρτυρα. Καὶ*
30 *παρίσταται μὲν ἥδεσθαι καὶ δόξαν διδόναι Θεῷ, οἷς ὁ καθ' ἡμᾶς αἰὼν ἀνδρῶν*
*πάντῃ σπουδαίων οὐκ ἔρημος, ἀλλ' ἔτι τῷ Ἰσραὴλ σπέρμα τι καὶ ῥίζα ἀρετῆς*
*ὑπολέλειπται, ζώπυρόν τι μικρὸν τοῦ κεχαρισμένου γένους Θεῷ, οὐ μέντοι*
*τὸ καλὸν τελείως ἀπέσβη καὶ ᾤχετο. Ἔπεισι δέ μοι καταγινώσκειν ἐμαυτοῦ,*
*καὶ πλείστων ὅσων γε πρὸς τὰ καλὰ κατηγορεῖν τὴν νωθείαν, ἐκ τοῦ περιόν-*
35 *τος πλούτου τοῖς ἄλλοις τὴν ἰδίαν πενίαν καταμανθάνοντι καὶ ταύτην οἰκτρῶς*
*ὀλοφυρομένῳ. Ἀμέλει μοι καὶ πρὸς τὸν ἐπιτεθέντα τῆς διδασκαλίας τοῦτον*
*ζυγὸν ἀφορῶν καὶ ἐννοῶν, ὅσον ἄρα τῆς ἀξίας ἐνδέω, ὕλην καταγνώσεως τῆς*
*ἐμαυτοῦ καὶ τοῦτον δὴ τίθεμαι. Καὶ ἄλλων προκεχειρισμένος ἑρμηνευτὴς εἶναι*
*τῶν θείων, ἑτέρων μᾶλλον ἔγωγε ἐπιδεὴς εἰς τοῦτο καθέστηκα. Καὶ πῶς οὐχ*
40 *ἁρμοδιώτατα τῷ μελέῳ, τὸ τοῦ λόγου, διοίσει μοι; Ἰατρέ, θεράπευσον σεαυ-*
B 143 *τόν. Ὅσον δέ μοι ἐμπέφυκε τὸ αὐτοκατάγνωστον, μηδὲν ἐμαυτῷ τῶν|λῴων,*
*ἅπαν δέ γε φαῦλον ἀτεχνῶς συνειδότι, τοσοῦτόν μοι τὰ σὰ ἀξιάγαστα καθέ-*
*στηκε καὶ ἀρίζηλα. Καί σου πρὸς τὸν ἵμερον πάλιν τῆς συντυχίας οὐκ ὀλίγος*
*καθέστηκα, καὶ εἰ οἷόν τε ἦν Δαιδάλῳ περιτυχεῖν ἢ πτεροῖς Ἰκάρου κουφί-*
45 *ζεσθαι, συνεχῶς ἂν ἐφοίτων αὐτόθι τοῦ βλέπειν σε τὸν ποθούμενον. Καί μοι*
*τὰ τῆς Τραγῳδίας φθέγξασθαι ἔπεισιν «ἀνεμώκεος εἴθε δρόμον νεφέλας*
*ποσὶν ἐξανύσαιμι δι' αἰθέρος, πρὸς ἐμὸν ὁμογενετῆρα, περὶ δ' ὠλένας φίλτατα*
*βάλοιμι, χρόνου φυγάδα μέλεον». Ἀλλὰ τί πάθω; καὶ γάρ μοι τὰ τῆς ἐφέσεως*

15 *συνεπλούτηται* KVB *πεπλούτισται* P *εἴρησται* P 16 *ἑκάστοις: ἑκάστου* B
18 *εἰδήμονας μόνον* B *εἴδη μόνον* codd. 23 *οἱ* om. KPB 26 *πᾶσιν* B *παρὰ*
*πᾶσιν* codd. *ὁμολογούμεναι* V *ὁμολογουμένης* KPB 29 *κτησάμενος* B *τῶν*
*σῶν κτ.* codd. 33 *τὸ κακὸν* P 38 *ἄλλοις* B 47-48 *περὶ δ' ὠλένας δέρα φίλτατα*
(bis in P) *βάλοιμι χρόνον φυγάδα μέλεον* codd. *περὶ δ' ὠλένης φίλτατα βάλοιμι. χρό-*
*νου φυγάδα μέλεον* B || 20 Ἡσιόδ. Ἔρ. 763-764 46-48 Εὐρ. Φοίν. 163-167.



*πάντα ἀμήχανα, μήτε σοῦ τῆς Πόλεως ἐκβαίνειν εὐπετῶς ἐσχηκότος, μήτε*
50 *ἐμὲ ἔνδημον ὑμῖν ὀφθῆναι ἐφειμένον, οἷς κεκλήρωται τὸ καθ' ἡμᾶς ἐπικρατές.*
*Εὐχῶν οὖν ἐμοὶ δεήσει τῶν παρὰ σοῦ. Ταύταις γὰρ ὀψέποτε θείας μέ τινος*
*διεγειράσης ῥοπῆς, καὶ πρὸς τὴν σὴν σοφίαν ἀφικέσθαι δυνήσομαι, καὶ βελ-*
*τίων ὀφθήσομαι ἐμαυτοῦ, καὶ οὕτω σοι συνέσομαι τὸν ἐπίλοιπον βίον, καὶ*
*θεῷ κεχαρισμένως βιώσομαι, καὶ εἴθε τῆς ἔνθεν λυσιτελείας μὴ διαμάρτοιμι.*
55 *Ἐρρωμένος εἴης καὶ ὑγιαίνων ψυχῇ τε καὶ σώματι· καὶ ἐν ἅπασι τοῖς*
*πνευματικοῖς, μετὰ καὶ τῶν σῶν, εὐεκτῶν καὶ ἔχων ἐν ἅπασιν εὐτυχῶς.*
*Ὁ πάντα τὰ σὰ καὶ φιλῶν καὶ θαυμάζων ἐξόχως μοναχὸς Ἰωσήφ, ὃν διὰ τὸ*
*γνώριμον οἱ πολλοὶ Βρυέννιον γράφουσιν.*

49 *πάντα* B *πάντῃ* codd. *σοῦ τῆς πόλεως* B *σοι τῆς φίλης πόλεως* codd.
53 *ὀφθήσοται* e lapsu B post *ὀφθήσομαι* add. *καὶ* V *οὕτω* B *αὐτῷ* codd.

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ

## *Η'*

B 143 ***Τῷ τῶν ἀρχιερέων ἄκρῳ, τρισκαιδεκάτῳ τε τῶν 'Αποστόλων, ποιμένι ποιμένων καὶ κριτῇ τῆς οἰκουμένης, Μάρκῳ τῷ πάπᾳ 'Αλεξανδρείας. 'Εν Αἰγύπτῳ.***

*῾Εν ἄρα καὶ τόδε τῶν μεγίστων εὐτυχημάτων τίθεμαι, τὸ σπουδαίοις ἀνδράσιν εἰς λόγον φιλίας προσοικειοῦσθαι, καὶ τὸ μέγα τοῦτο κτῆμα καὶ*
B 144 *ἀνθρώποις περι|σπούδαστον, εἰς τοὺς ὠφελεῖν δυναμένους πλουτεῖν. Εἰ δὲ*

***Η'*** Tit.: 1 *τε* om. codd. in marg. *συναπτικὴ* KV
2 *καὶ* om. P 3 post *ἀνθρώποις* add. *ἅπασι(ν)* codd.



*καὶ μὴ ὅτι γε πρὸς ἀρετήν, ἀλλὰ καὶ πρὸς λόγων εὐμοιρίαν τῆς σπουδῆς ἐκεί-*
5 *νοις τὸ περιόν, ὥστε ἀμφοτέρωθεν ἔχειν τὸ εὐδόκιμον, ᾧπερ ἄρα καὶ ἡ τε-*
*λειότης προσμεμαρτύρηται καὶ τὸ βιοτεύειν μετὰ τῆς ἐκεῖθεν μακαριότητος,*
*πηλίκον εἰς εὐδαιμονίαν τὸ τούτοις συνάπτεσθαι; Εἰ δὲ πρόσεστι τούτοις καὶ*
*ἄκρον ἀξίωμα, τούτου τίς εὕροι μεῖζον, ὃ κτήσοιτο; Τοιόνδε κἀγὼ τὸν φίλον*
*ηὐμοίρησα. Ἔνθεν τοι τῆς τύχης, καίτοι τἆλλα ἀκλεῶς ἐσχηκότα, ὅσον*
10 *κατὰ τοῦτό γε ἐμαυτὸν μακαρίζειν ἔχω! Ἄγαμαι δέ σου καὶ τοῦ τρόπου*
*τὸ ἄτυφον καὶ τὴν εἰς τὸν πρᾷόν τε καὶ ταπεινὸν τῇ καρδίᾳ Δεσπότην μίμησιν,*
*οἷς τοῖς πενιχροῖς ἡμῖν μὴ ἀπαξιοῖς καὶ εὐτελέσι συμφέρεσθαι, οὓς τοῦ τρό-*
*που τὸ κακόηθες καὶ ἡ πρὸς τὰ κρείττω ὀλιγωρία ἀρετῆς καὶ λόγου τὸ πα-*
*ράπαν καὶ ἀξιωμάτων ἐστέρησε. Τούτου σε τοίνυν ἀξίως ἀμείβεσθαι προ-*
15 *τεθύμημαι μέν, οὐ δεδύνημαι δέ, τὸ τῆς ἐπιεικείας τῆς σῆς περιὸν πᾶσαν ἀμοι-*
*βῆς ὑπερβαινούσης περιουσίαν. ῞Οσον γὰρ ἡμῶν ὑπερτερεῖς, ὦ θειότατε, το-*
*σοῦτον ἔστι σου συλλογίζεσθαι τῆς μετριοφροσύνης τὸ ὑπερβάλλον, ὃ τῶν*
*εὐτελῶν ἡμῶν ἀναγκάζει μὴ ἀπαξιοῦν τὴν οἰκείωσιν. Γραμμάτων δὲ τοῖς*
*ἀμοιβαίοις εἰ πειραθείην ἀξίως ἀφοσιοῦσθαι τὸ χρέος, καὶ οὕτως ἀγνοῶν*
20 *ἐλεγχθήσομαι τὴν ἐμαυτοῦ περὶ λόγους ἀσθένειαν. Τί γὰρ ἂν καὶ εἴποιμι*
*τῆς σῆς ὑπεροχῆς ὄντως ἄξιον, ὡς ἂν πρέπων σοι ὁ τῶν ἐπαίνων παρ' ἐμοῦ*
*πλακῇ στέφανος; Τίς γάρ εἰμι ἐγὼ ἢ τίς ἡ σύστασίς μου, ἀλλ' ἢ σποδὸς*
*καὶ σκιά; καὶ ἄνω μὲν γῆ, ὕστερον δὲ σαπρία, τὸ δὲ μέσον ἁμαρτία, καὶ τὸ*
*πᾶν ὄνειρος; ῞Ομως ἐπείπερ ἠξίωσας φθάσας αὐτός, οὐχ ὅπως ἅπαξ, ἀλλὰ*
25 *καὶ δὶς καὶ τρὶς καὶ ἐπέκεινα γράψαι μοι, καθάπερ ἐν τῷ ὑστάτῳ διατείνῃ*
B 145 *σου γράμματι, κἂν ἐμοὶ δεύτερον τοῦτο μετὰ πλεῖστον | ἐπεληλύθει τὸν χρό-*
*νον, ἀφ' οὗ τὸ πρῶτον ἐδεξάμην, τοῖς εὐτελέσι τοῖσδέ σε καὶ πενιχροῖς ἀμεί-*
*βομαι γράμμασιν. 'Εγώ σου τῇ μεγαλοπρεπείᾳ φιλιωθείς, ὅτε τὴν εἰς τὴν*
*βασιλίδα πορείαν ἐστέλλου, καὶ βεβαιωθεὶς τὸ ἐν πᾶσί σου περιδέξιον καὶ*
30 *τοῦ τρόπου τὸ σφόδρα φιλόκαλον, καὶ θαυμάζω σου ἄγαν τὸ συνετὸν καὶ*
*χαίρω, οὐχ ἧττον ἢ ἄλλος τοῖς ἑαυτοῦ, τοῖς σοῖς ἀγαθοῖς. ῝Ον γὰρ ἔφθην*
*γνησιώτατα στέρξας καὶ ἐν ἴσῳ τῶν ἐξ αἵματος οἰκειοτάτων εἰς φίλτρον θέ-*
*μενος, τούτου πῶς οὐκ οἰκειώσομαι τὰ καλὰ καὶ ὡς ἐμαυτῷ τοῖς τοιούτοις*
*ἡσθήσομαι; Ἥδομαι τοίνυν τοῖς σοῖς καλοῖς, καὶ ἥδομαι ἐκ περιουσίας ὅτι*
35 *πολλῆς, καὶ τῶν καλῶν οὐχ ὅσοις σε μόνον τὸ πεφυκὸς κατεκόσμησεν, ἀλλ' ὅ-*
*σοις σε καὶ τρόπου καλοκαγαθίᾳ ἐσέμνυνε, καὶ οὐ τούτοις μόνον ἀλλὰ καὶ*

4-5 *ἐκείνης* P 5 *ἔχειν* B *πλουτεῖν* codd. 8 *ὃ*: *ἢ* KV 10 *κατά τι γε* P 11 *τὸ πρᾷον* P *τὸν Πρᾷον* (sc. *Θεὸν*) B 16 *ὑπερβαῖνον* B 17 *ἔστι σου* B *ἔστι σοι* P *τὸ τῆς μετρ. ὑπερβ.* P 22 *πλακῇ* B *πλακεὶς* P *πλακῆς* K 26 *τοῦτο* om. P 26-27 *τὸν χρόνον* : *τὸ πρῶτον* B 28 *εἰς* om. P 33 *ἐμαυτῷ* B *ἐμαυτοῦ* KV 36 *σε* om. P *καλοκαγαθίας* P *ἐσέμνωσε* K *οὐ* : *ἐν* KV *ἀλλὰ (καὶ)* B

*ὅσοις σε ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἐδεξιώσατο, μᾶλλον δὲ τὰ ἀρρεπῆ τῆς θείας δικαιοσύνης ζυγά. Ἡ τῇ τοῦ Θεοῦ πρὸς τὰ καθ' ἡμᾶς ἀδεκάστῳ ῥοπῇ ἑκάστῳ τὰ πρὸς ἀξίαν ἀπονενέμηκε. Χαίρω οὖν καὶ εὖ ποιοῦντα μανθάνων σε,*
40 *καὶ εὖ πράττοντα. Καί σε τοὺς τετιμηκότας, καὶ εἰς τοῦτό γε προβαλομένους, ὃ περίκεισαι ἤδη ἀξίωμα, ἐπαινεῖν πάρεστί μοι, οἷς οὐ τὸν ἁπλῶς εὐφυᾶ, καὶ ἐν πᾶσι περιδέξιον τετιμήκασιν, ἀλλὰ καὶ ὃν δι' ἀρετὴν Θεὸς ἔστερξε. Βούλομαι τοίνυν καὶ αὐτὸς γνησιώτερον ἔτι τὸ καλὸν τοῦτο κτήσασθαι, διὰ φιλίας σε ἄκρας τὰ μάλιστα ἐξοικειωσάμενος, μᾶλλον δ' οὐ φίλον ἁπλῶς*
45 *σε κεκτῆσθαι ἐθέλω, ἀλλὰ ψυχῆς τῆς ἐμῆς σε πατέρα τίθεμαι γνησιώτατον. Καὶ τῆς γνησιότητος ταύτης ἐχέγγυον τὰ παρόντα ἔστωσαν γράμματα, ὧν ἀμοιβαῖα ἀντεπιστείλας μοι, τὸν τοῦ ἔρωτος ἐπὶ πλέον ἀνάψεις πυρσὸν καὶ πρὸς τὸ χρήσασθαι τοῖς ἴσοις ἀπεργάσῃ πάντως ἐμὲ προθυμότερον.*
50 *Εἴης μοι ἐρρωμένος καὶ εὐεκτῶν καὶ τὸν ἔξω ἄνθρωπον σὺν τῷ ἔνδοθεν. Αἵ τε πρὸς τὸν Θεόν σου ἐντεύξεις κἀμοὶ εὐεξίαν χαρίσαιντο. Τοῦ κατὰ πνεῦμα υἱοῦ καὶ φίλου γνησίου καὶ δούλου πιστοῦ τῆς σῆς ἁγιότητος, μοναχοῦ Ἰωσήφ, οὗ Βρυέννιος ἡ ἐπίκλησις.*

---

45 *τιθέναι* PV

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ



30 - 5 - 1987



## Θ'

### Τῷ Οἰκουμενικῷ

B 146

*Ὁ μέγας οὗτος καὶ ὑψηλὸς βίος ὁ πρὸς τὸν οὐρανὸν τετραμμένος, τῇ μὲν φύσει τῶν πραγμάτων δυσχερής τις εἶναι δοκεῖ, τῇ δὲ ἀνδρείᾳ τῶν μετιόντων καὶ προθυμίᾳ εὔκολος σφόδρα γίνεται. Καὶ τὸ θαυμαστὸν τῆς φιλοσοφίας ταύτης τοῦτο μάλιστά ἐστιν, ὅτι τῆς θαλάττης μαινομένης, ἐξ οὐρίας πλεῖ*
5 *καὶ μετὰ πολλῆς τῆς γαλήνης ὁ γνησίως αὐτὴν μετιὼν καὶ θερμῶς, καὶ ὅτι*

---

Θ' Tit.: in marg. *ἀληπτικὴ* K *ἀλειπτικὴ* V
1 *τετραμμένος* B *τεταμμένος* codd.

*πολλῶν πολλαχόθεν θορύβων ἐγειρομένων. ἡσυχίαν καρποῦται καθαράν, καὶ
μυρίων πανταχόθεν πεμπομένων βελῶν, ἕστηκεν ἄτρωτος, δεχόμενος μὲν τὰ
ἀκόντια, πάσχων δὲ ἐντεῦθεν οὐδέν. Ὁποῖον ἄρα καὶ τὴν σὴν ἁγιωτάτην
ὑπεροχὴν ὁ καθ' ἡμᾶς ηὐμοίρησε χρόνος, μᾶλλον δὲ ἡ τόδε τὸ πᾶν ἀρρήτοις*
10 *λόγοις συστησαμένη Σοφία, ποιμένα καὶ διδάσκαλον προεβάλετο. Σὸν οὖν
ὄντως τοῦτο καὶ μόνου, τοῦ νήφοντος καὶ ἐγρηγορότος κυβερνήτου, τὸ μηδὲ
εἰς τοσοῦτον ἀρθέντος τοῦ χειμῶνος ἀναπεσεῖν, ἀλλ' ἐπιμένειν ἔτι φροντίζοντα
καὶ μεριμνῶντα καὶ κατὰ τὸ ἐγχωροῦν τὰ ἑαυτοῦ πάντα εἰσφέροντα, παν-
ταχοῦ διά τε τῶν λόγων διά τε τῶν γραμμάτων περιτρέχοντα, τοὺς ἐγγύς,*
15 *τοὺς πόρρω συγκροτοῦντα, διεγείροντα παρεγγυῶντα, μηδένα τῷ κλύδωνι
παρασυρῆναι, ἀλλ' ἑστάναι καὶ νήφειν, κἂν μυρία τούτων ἐπήει χαλεπώτερα
κύματα, καὶ ἐνὶ ἱδρυμένον τόπῳ πανταχοῦ διὰ τῆς παραινέσεως ἵπτασθαι.
Διὰ τοῦτο θαυμάζομέν σου τὴν καρτερίαν, καὶ μακαρίζομεν τὴν διεγηγερμέ-
νην σου καὶ ἀπερίτρεπτον γνώμην, καὶ τὴν ἐν τοσούτῳ γήρᾳ νεάζουσαν προ-*
20 *θυμίαν· καὶ οὐδὲν ἀπεικός. Ὅταν μὲν γὰρ τὰ προκείμενα τῆς τοῦ σώματος
δέηται ῥώμης, κώλυμα ἐνταῦθα τὸ γῆρας γίνεται, ὅταν δὲ ψυχῆς ἀπαιτῇ
φιλοσοφίαν καὶ πνεύματος θείου κίνησιν, οὐδ' ἡ πολιὰ τοῖς κατορθώμασιν*
B 147 *ἐπισκοτεῖν εἴωθε· | τοίνυν οὐδ' ἐπεσκότισεν, ἀλλὰ πάντα παρὰ τῆς σῆς σπου-
δῆς εἰσενήνεκται, καὶ ἀπὸ γραμμῆς ἡμῖν τούτων ἐφάνης ἄξιος τῶν ἐλπίδων.*
25 *Ὅτι τῶν ὄντων χαλεπῶν οὐδὲν ἡγῇ χαλεπόν, καὶ ὀκνῶν ἐπιτάττειν σεαυτὸν
δίδως τοῖς ἔργοις, δεῖγμα τρόπων χρηστῶν καὶ ἄθλων προτέρων διδοὺς
ἡμῖν καὶ ὅτι ἀπὸ κρείττονος αἰτίας προήχθης εἰς τοῦτο τὸ μέγα λειτούργημα.
Ὅτι δὲ καρπὸν δώσει τὸν προσήκοντα ὁ πόνος οὗτος καὶ ἡ τοσαύτη σπουδή,
οὐδὲν οἶμαι δέον ἀμφιβάλλειν· τοιαύτη γὰρ τῶν πειρασμῶν ἡ φύσις, τοῖς*
30 *γενναίως αὐτοὺς φέρουσι πολλὰ κομίζει τὰ βραβεῖα καὶ λαμπροὺς τοὺς στε-
φάνους. Ὅτι δ' οὐ πρὸς χάριν ταυτὶ ἐρρέθη τὰ ῥήματα, αὐτὰ συμμαρτυρεῖ
μοι τὰ πράγματα, ὅτι ἀρκεῖς καὶ μόνον ὁρώμενος πολλοὺς ὀρθῶσαι τῶν
πιπτόντων, στηρίξαι, ἀλεῖψαι, συγκροτῆσαι. Οἶδα αὐτὸς τὸν ἐμὸν ἀριστέα,
οἶδά σου τὸν ζῆλον, τὴν παρρησίαν, τὴν ἐλευθερίαν, μεθ' ἧς, καὶ μεγάλων*
35 *κατεξανίστασαι, τοῦ καιροῦ τοῦτ' ἀπαιτοῦντος, καὶ πολλῶν μὲν φευγόντων,
ἄλλων δὲ κρυπτομένων, μόνος πολλάκις ἐπὶ τῆς παρατάξεως ἕστηκας, τὸ
μέτωπον αὐτῆς κοσμῶν καὶ τὸ τῆς ἀξίας σου ὄνομα λόγῳ καὶ ἔργῳ δεικνύς,
καὶ οὐδένα ἀφιεὶς λειποτάκτην γενέσθαι, ἀλλὰ καὶ τοὺς μετὰ τῶν ἐναντίων
τεταγμένους τῇ ἐμμελείᾳ σου μεθιστῶν. Ἃ σοι καὶ εἰς τέλος προβῆναι, ὡς*
40 *Χριστῷ στρατηγοῦντι καὶ βουλοίμεθα καὶ εὐχόμεθα. Καὶ ταῦτα μὲν δὴ τὰ
τῆς σῆς ἁγιότητος ἀριστεύματα.*

---

14-15 *καὶ ἐγγὺς τοὺς πόρρω* codd. *τοῖς ἐγγὺς τοῖς πόρρω* B 32 *ἀρκεῖς* B *ἀρκεῖ* codd. 39 *μεθιστῶν* B *καθιστῶν* KP 40 *βουλοίμεθα* B *βουλόμεθα* codd.



*Ἐμὲ δὲ πολλῶν εὐφραινόντων, τούτων ἕν μοι μάλιστα χαίρειν δίδωσι,
τὸ τοὺς πιστοὺς ἠγγέλθαι τῶν ἀπίστων κρατοῦντας, ποιήσασθαι μὲν ὑφ' ἑαυ-
τοῖς τὸν Ἴστρον, ἑλεῖν δὲ τὰς παρακειμένας ἐκείνῳ πόλεις καὶ μετὰ πολλῆς*
45 *ἀεὶ χωρεῖν τῆς ἀνδρείας, τοὺς μὲν ἐπὶ Μακεδονίαν, τοὺς δὲ ἐπὶ Θρᾴκην, τοὺς
δὲ ἐπὶ ἄλλο τι τῶν ὑπὸ τῶν Τούρκων κατεχομένων. Ὥστε τοῖς μὲν ἐπέρχε-
ται πιστεύειν, ὡς νῦν ἀφίκοιντο παρ' ὑμᾶς, σωτῆρες τινὲς μετὰ Θεὸν καὶ
ῥῦσται, τοῖς δέ, ὡς ἐγγύς εἰσι τοῦ πρὸς ὑμᾶς φθάσαι. καὶ ὅλως τὸ τὰ τῶν
χριστιανῶν νικᾶν πᾶσι δοκεῖν, τὰ δὲ τῶν ἐχθρῶν τοῦ Κυρίου κατά τε γῆν*
B 148 *καὶ θάλασσαν δυστυχῶς ἔχειν, ἑορτὴν ἄγειν πείθει με, λο|γιζόμενον τἀγαθά,
ἅ γε ὁ τοῦ Θεοῦ υἱὸς τοῖς τὴν Βύζαντος οἰκοῦσιν, ἀντὶ τῶν ἤδη προσδοκηθέν-
των δυσχερῶν παρέξει. Ἃ δὴ ταῖς πρὸς αὐτὸν σοῦ, παναγιώτατε, λιτανείαις
ὑμῖν χαρίσαιτο τάχιον, ὅπως τῶν ἐπικειμένων φόβων καὶ τῆς μακρᾶς ταύτης
τειχομαχίας ἀπαλλαγέντες, ἀνενοχλήτως διάγοιτε, πρὸς τὴν μέλλουσαν μό-*
55 *νην καὶ ἀληθῶς μακαρίαν ζωὴν ἀποβλέποντες. Συνενεκτοίη τῷ ἔνδον σοι
καὶ ὁ ἔξωθεν ἄνθρωπος, εἴς τε τὴν τῆς Ἐκκλησίας οἰκοδομὴν καὶ πάσης
τῆς οἰκουμένης ὠφέλειαν. Καὶ μετὰ πάντων κἀμὲ αἱ θεοπειθεῖς εὐχαὶ τῆς
σῆς ἁγιότητος σωτηρίας ἀξιωσάτωσαν. Τοῦ τῆς σῆς ἁγιότητος καὶ υἱοῦ
καὶ οἰκείου δούλου, Ἰωσὴφ μοναχοῦ τοῦ Βρυεννίου.*

---

42 *τούτων ἕν μοι* B *τοῦτο νῦν μοι* codd. 43 *τὸ* B *τῶν* codd. 43-44 *ὑφ' ἑαυτοῖς* B *ὑφ' αὐτοῖς* codd. 48 *τῶν* om. B 53 *ὅπως* B *ὥστε* codd. 55 *ἀληθῶς* om. B 58 *ἀξιωσάτω* V

## Π Ι Ν Α Κ Ε Σ

### I. ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ



### II. ΛΕΞΕΩΝ

## *Ι'*

B 148 ***Τῷ ἀπὸ Γραικνῷ 'Ιταλῷ, 'Αδελφῷ Μαξίμῳ τῆς τάξεως τῶν Κηρύκων***

*'Εν ἐρήμῳ διατρίβοντι καὶ προσέχειν ἐμαυτῷ πειρωμένῳ τὰ τῆς σῆς χειρὸς ἧκε γράμματα, ἃ καὶ διελθὼν ἐσκεμμένως τὴν μὲν συνθήκην τούτων ἐπαινῶ—τέχνῃ γὰρ γέγραπται—, τῆς δὲ ἐννοίας περιφρονῶ· πάσης γὰρ πλάνης ἀνάπλεω. Ὦ ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. Προσήκει σοι μάλιστα*
5 *ξυρᾶν λέοντα καὶ γράφειν εἰς ὕδωρ καὶ τοξεύειν εἰς πόλον καὶ κενὴν ψάλλειν. καὶ τρέχειν ἀκίχητα ἢ ἐμὲ πειρᾶσθαι τοῦ τῶν ὀρθοδόξων ἀποστῆσαι χοροῦ. Πόθεν δὲ καὶ τοῦ χάριν ἐπῆλθέ σοι τοιοῦτόν τι περὶ ἡμῶν φαντασθῆναι; Τί δὲ μικρὸν ἢ μέγα πεπονηκὼς ἐμὴν χάριν, οὕτω τῆς ἐμῆς ἀντιποιῇ σωτηρίας, ὥστε με καὶ οὐχ ἑκόντα εἶναι σῴζειν μηχανᾶσθαι σπουδῇ;*
10 *Μὴ σοὶ μέλει πλέον τῆς ἐμῆς σωτηρίας ἢ τῷ χάριν ἐμὴν τὸ αἷμα δεδωκότι τὸ ἴδιον; Ὅρα μὴ καὶ Θεῷ ὀφθείης ἀντίθεος, ἀναιρῶν τὸ τῇ φύσει δεδομένον*
B 149 *τῆς αὐτοκρατορίας | ἀξίωμα. Ἔοικας οὐ ζήλῳ θείῳ ταύτην ποιεῖσθαι τὴν ἔνστασιν, ἀλλ' ἐκδικεῖν δοκεῖν ὅπερ ἔφθης ἑλόμενος, ὡς ἂν οὕτω γε τοὺς ἐπὶ τῇ μεταθέσει διαφεύγοις ἐλέγχους καὶ τὴν τῶν μεθ' ὧν τέταξαι εὔνοιαν*
15 *ἐπισπᾶσθαι τῇ πρὸς ἡμᾶς περιφανεστάτῃ δυσμενείᾳ καὶ ταῖς καθ' ἡμέραν ἀντιπτώσεσιν αὐτοῖς χαριζόμενος. Ὅνπερ ἄρα τρόπον καὶ ἐκ τῆς τῶν χριστωνύμων μοίρας οἱ πρὸς τὰ τῶν 'Αγαρηνῶν μεταβάλλοντες ἀκήρυκτόν τινα καὶ ἄσπονδον καθ' ἡμῶν τὴν μανίαν ἐνδείκνυνται, καὶ τὰ τῆς ἡμετέρας εὐσεβείας ἀχαλίνῳ γλώσσῃ κερτομοῦσι καὶ διασύρουσι, μηδὲν ἐντεῦθεν ὅτι*
20 *μὴ τὸ ⟨τῶν⟩ οἷς προσῄεσαν εὔνουν πραγματευόμενοι. (Τίς οὖν ἄρα βάρος ἔχων νοῦ καὶ φρενῶν εὖ ἥκων τῆς σῆς γλώττης θήραμα γενέσθαι ἀνάσχοιτ' ἄν;) Εἰ δὲ καὶ τὸν ὑπὲρ τοῦ Θεοῦ προβάλλῃ ζῆλον καὶ ἄλλος τις 'Ηλίας εἶναι βούλει ἢ Φινεές, ὡς ἐκεῖνοι τῆς κακίας οὕτω σὺ τῆς παρὰ σοὶ κρινομένης κακοδοξίας ἐκβιαστής, εἰσὶν ἕτεροι χείρους ἡμῶν τὴν κακοδοξίαν, 'Ιουδαῖοι φημὶ καὶ*

---

4 Ὅμ. α 64  5-6 Paroem. gr., τ. I, σσ. $274_{,25}$, $344_{,5}$, $68_{,46}$, $345_{,13}$, τ. II, σσ. $178_{,12}$, $677_{,60,b}$.

---

*Ι'* Tit.: in marg. *σκωπτικὴ* KV
1 post *ἐρήμῳ* add. *μοι* PV  11 *ἀντίθετος* V  14 *διαφεύγοις* B  *διαφεύγειν* KP
20 *τῶν* add. B

25 Ἰσμαηλῖται· ἐν τούτοις οὖν τὰ τοῦ ζήλου δειχθήτω σοι. Νῦν καὶ ἐκείνων ἀνεχόμενος, τὰ ἀθεώτατα βλασφημούντων, καθ᾽ ἡμῶν πνέεις μόνον. Εἰ γὰρ ἀληθῶς ὁ ὑπὲρ Χριστοῦ σε ζῆλος εἰς τοῦτο κινεῖ, ἐκείνοις ἔδει χαλεπαίνειν, ἐκείνοις ἀντιφέρεσθαι, κατ᾽ ἐκείνων ὁρμᾶν, οὐχ ἡμῶν, οἳ τὴν αὐτὴν Τριάδα σοι, τὸν αὐτὸν Χριστὸν καθομολογοῦμεν. Εἰ οἰκίαν ἑώρας ἐξ αὐτῶν κρηπί-
30 δων σεσαθρωμένην εἰπέ μοι· ἆρα, ἀφεὶς τὰ καιριώτατα θεραπεύειν, τὰ μικρὰ τῶν τοίχων ῥήγματα ἂν ἠσφαλίζου; Οὐκ ἔγωγε οἶμαι. Εἰ δὲ καὶ ὑπὸ βασιλεῖ τεταγμένος ἧς καὶ τοὺς μὲν ἑώρας ἐχθροὺς αὐτοῦ προφανεῖς τελοῦντας καὶ ὑβριστάς, τοὺς δὲ οἰκείους μὲν μικρὸν δέ τι προσκρούσαντας, ἆρα ἂν τοὺς προφανεῖς ἐάσας ἐχθρούς, τοὺς οἰκέτας ἠμύνω; Τάχα ἂν ἀλλ᾽ οὐκ ἀμύνασθαι
35 φαίης, ἀλλὰ θεραπεῦσαι ἐπείγομαι. Καί τίνες μᾶλλον δέονται τῆς θεραπείας; οἱ περὶ τὰ καίρια νοσοῦντες ἢ οἱ μικρᾷ τινι ἀνωμαλίᾳ συνεσχημένοι τοῦ σώματος;

Εἰ μὲν οὖν διά τι τῶν ἀνθρωπίνων τὴν μετάθεσιν εἶλου τὴν ὀρθότητα τῆς ἡμετέρας δόξης μὴ ἀγνοῶν, οὐκ οἶμαί σε παραιτήσεσθαι τὴν ἐπάνοδον· οὐ
40 γὰρ ἂν ἀνάσχοιο τῆς κρείττονος ἐπὶ μακρὸν ἀφεστάναι μερίδος. Εἰ δὲ ἣν εἷλου δόξαν πάσαις ψήφοις ἔχειν διατείνῃ τὸ ἀσφαλὲς καὶ τούτου χάριν αὐτῆς περιέχῃ, σκοπεῖν ἐχρῆν τὸ τῆς ἀνθρωπίνης διανοίας εὐόλισθον καὶ ὡς πολλοί τινες καὶ διανοίας ὀξύτητι καὶ λόγων δεινότητι τὸ θαρρεῖν ἐσχηκότες τῆς ὀρθῆς ὅμως περὶ Θεοῦ διημάρτοσαν δόξης· οὐ γὰρ τῇ ἀληθινῇ καὶ πρώτῃ σοφίᾳ
45 προσέσχον, ἀλλὰ τῇ ψυχικῇ καὶ δαιμονιώδει, ᾗ περὶ λογομαχίας ἀνωφελὴς ἡ σπουδή, ὧν καρπὸς οὐδὲν ἕτερον ὅτι μὴ τῶν ἀκουόντων ἡ καταστροφή. Ἦ γὰρ οὐχὶ πάντες, ὅσοι δόξαις αἱρετιζούσαις ἑάλωσαν τῆς καθ᾽ Ἕλληνας
B 149 σοφίας ὑπῆρχον ἀνάπλεῳ; | Εἰ δὲ καὶ ὅλως τῆς τῶν Ἰταλῶν ἐξήρτησαι δόξης καὶ τὸ ἀσφαλὲς αὐτῇ μηδὲν ὅλως ἐπενδοιάζων χαρίζῃ, τί μὴ ἀγαπᾷς αὐτὸς
50 ταύτῃ προσκείμενος, δι᾽ ὄχλου δὲ γίνῃ τοῖς ὁμοφύλοις κοινωνοὺς καὶ αὐτοὺς ἔχειν τῆς μεταθέσεως;—οὐ γὰρ ἄν τινα πείσειας, ὅσοις ἄρα τὸ φρόνημα ἐμβριθές, ὕποπτον εἰδόσι τὴν ἐν λόγοις ἀπόδειξιν—. Ἐγὼ δὲ οὐκ οἶμαί σε λανθάνειν λόγιον ὄντα, πότεροι ἄρα ἡμῶν τε κἀκείνων κατὰ σκοπὸν τῆς ἀληθείας βάλλουσι καὶ τίνες πόρρω τῆς νύσσης θέουσιν. Ἀλλὰ τὸ φιλόνεικον αὐτὸ
55 καὶ ἡ ἔνστασις, τό τε ἀγέρωχον καὶ ἰταμὸν καὶ τὸ μὴ ἀνέχεσθαι μηδ᾽ ἀξιοῦν σε ἡττημένον φανῆναι οὐκ ἐᾷ σε στῆναι μετὰ τῶν φοβουμένων τὸν Κύριον οὐδὲ λογίσασθαι ὁπωσοῦν, ὡς ὁ τινὶ ἀληθείᾳ μαχόμενος ὅσον μᾶλλον ἀττικίζει, τοσοῦτον βαρβαρίζει καὶ ὅσον δοκεῖ λογικεύεσθαι, τοσοῦτον ληρεῖ καὶ καθ᾽ ὅσον ⟨ἔοικε⟩ δῆθεν πλείους ἀληθείας ἐπισύρεσθαι συνηγόρους πρὸς τοῦτο,

25 καὶ: δὲ V 27 post τοῦτο add. μόνον P 33 μικρόν τι δὲ P 40 ἣν om. P 43 ὀξύτατι e lapsu B 48 ὅλος V 49 ἐπενδοιάζων B ἐπιδοιάζων codd. 51 ἔχειν B ἐσχηκέναι codd. 59 ἔοικε suppl. B



B 150 τὰ μάλιστα | ψεύδεται. Ἀλήθεια γὰρ ἀληθείᾳ οὐ μάχεται οὐδ᾽ οἱ γνήσιοι ταύτης θεραπευταὶ κατ᾽ αὐτῆς χωρῆσαι ἀνέξονται.

Τούτων μὲν οὖν εἰς ἔννοιαν ἐλθεῖν καὶ τοιούτων οὐκ ἀφίησί σε τὸ ὑπερήφανον· ἐπεμβαίνεις δὲ ἡμῖν ἀφειδῶς, λέγων ἀποφράδας εἶναι καὶ ἀποστόργους Θεῷ, ἐπειδὴ τῷ πάπᾳ τῆς Ῥώμης ὑπείκειν οὐκ ἀνεχόμεθα, σημεῖον δὲ
65 τούτου ἡ παντὸς τοῦ ἔθνους δυσημερία καὶ δυσπραγία. Ἀλλὰ σὺν Θεῷ πρὸς ταῦτά σοι ἀπαντήσομαι. Εἰ ἐκ τῆς κατὰ τὸν βίον εὐπραγίας, ὦ Μάξιμε, τεκμαίρῃ τοῦ δόγματος τὴν ὀρθότητα, ὥρα σοι καὶ Ἀγαρηνοὺς καὶ Ἰσμαηλίτας εὐσεβεστέρους ἡμῶν ὑπειληφέναι, ἐφ᾽ οἷς εὐετηροῦσι τὸ σήμερον, τὸ μιαρὸν ἔθνος καὶ ἄθεον, τὸ τὰ ἀσεβέστατα κατὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀθυροστο-
70 μοῦν, τὸ ταῖς παρὰ φύσιν ὅσαι ὧραι καταχραινόμενον μίξεσι, τῶν, εἰ μή τι ἄλλο προσῆν ἡμῖν τῶν καλῶν, τῇ γοῦν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστει σεμνυνομένων καὶ τῷ εἰς αὐτὸν ἁγίῳ τετελεσμένων βαπτίσματι. Ἀλλ᾽ ὁρῶμεν τοὺς ἐξαγίστους τούτους οὐχ ὅπως ἡμῶν, οἳ τέλεον ἀπειρήκαμεν, ἀλλὰ καὶ ὑμῶν, τῶν ἐφ᾽ οἷς εὖ πράττετε μέγα κομπαζόντων, οὐχ ἥκιστα τῷ εὐ-
75 δαιμονεῖν ὑπεραίροντας. Οὐχ ὅτι τοίνυν, ὡς φής, τῷ ὑμετέρῳ πάπᾳ ὑπείκειν οὐ θέλομεν, διὰ τοῦτο καὶ δυσπραγοῦμεν, ἀλλὰ τὸ εἰς τοσοῦτον ἡμᾶς ἐκτρῖψαν ἡ τοῦ μιαροῦ τῶν ἀθέων ἔθνους ἐστὶν ἐπανάστασις, ἥτις γέγονε μὲν ἐκ τῆς ἐνδίκου τοῦ Θεοῦ ἀγανακτήσεως, ὃν ἡμῖν αὐτοῖς ἐξωργίσαμεν, συντετέλεκε δὲ πρὸς τοῦτο τὰ μέγιστα καὶ τὸ προσεχέστερα τῷ κατὰ τόπον
80 διαστήματι τὰ καθ᾽ ἡμᾶς τούτοις εἶναι. Οὐ τοίνυν ἐπεμβαίνειν ἔδει ἡμῖν, οὔτε μὴν ἐφήδεσθαι τοῖς ἡμετέροις κακοῖς, ἐλεεῖν δὲ μᾶλλον ἀδελφικῶς· νῦν δὲ μὴ μόνον οὐκ ἐλεεῖς πάσχοντας ἀλλὰ καὶ ὡς δίκαια πασχόντων χωρεῖς καθ᾽ ἡμῶν. Ἀλλ᾽ ὁ τοῦ κακὰ τεκταινομένου πόνος, εἰς τὴν κεφαλὴν
B 151 ἐκείνου περιε|τράπη. Οὕτω γὰρ τὸ τῶν ἀντικειμένων πῦρ ἤρθη καὶ τοσοῦτον
85 ἐπέδωκε τὰ κύκλῳ πάντα διανεμόμενον καὶ ἡμῶν ἐπελάβετο, καὶ δὴ ἅπασα κλονεῖται ἡ ἑσπέρα καὶ μαιμάσσει μὲν εἰς παράταξιν, ναρκᾷ δέ· ὁ γὰρ ἔναγχος συγκροτηθεὶς ἐν τῷ Ἴστρῳ πόλεμος ἤλεγξεν ὑμῶν τὴν ἀσθένειαν, καὶ ἐκείνους μὲν ἐθάρρυνε καὶ πρὸς τὴν ἀντίστασιν ῥωμαλεωτέρους διέθηκεν, ὑμῶν δὲ τὰ νεῦρα κεχαύνωκε καὶ τὸ πλέον τῆς ἰσχύος ἡ δειλία ἀφείλετο,
90 ὥστε μηδαμῶς εἰσέτι τὴν ἐκείνων θαρρεῖν ὑμᾶς σύγκρουσιν. Καὶ τὸ θαυμαστόν, ὅτι ἡμεῖς τόσα ἔτη πολιορκούμενοι στέγομεν ἔτι, ὑμεῖς δὲ μετὰ πάσης ὑμῶν τῆς παρατάξεως καὶ μεθ᾽ ὅσης τῶν ὅπλων παρασκευῆς, τοῖς Ἀγαρη-

68 ὑπειληφέναι B ὑποληφέναι V ὑποληφθῆναι P σήμερον B τήμερον codd. 72 σεμνυνομένων B τετελειομένων P 76 διὰ τοῦτο καὶ δυσπραγοῦμεν om. P 78 μὲν om. P 79 τὸ μέγιστον B τὸ KVB τῶν P 84 ἀντικειμένων πῦρ ἤρθη codd. κειμένων πῦρ ἤρβετο B 84-85 καὶ τοσοῦτον ἐπέδωκε τὰ κύκλῳ πάντα διανεμόμενον καὶ ἡμῶν ἐπελάβετο om. B 86 ἡ om. PB 87 ἡμῶν P 92 ὑμῖν B

*νοῖς ἐπιόντες ἅπαξ, ἀνὰ κράτος ἡττήθητε, καὶ ἡ τοῦ στρατεύματος ἐκείνου*
*ἧττα πᾶσαν τὴν Ἑσπέραν ἐθρόησε. Καὶ εἰ μὴ ἡμεῖς, προσεχέστεροι ὄντες*
95 *αὐτοῖς, τὴν ἐκείνων ἅπασαν προσβολὴν ὑφιστάμεθα, καθάπερ τι τειχεῖον*
*ἱστάμενοι μεταξὺ ὑμῶν τε κἀκείνων, οὐδὲ πρὸς μικρὸν ἂν ἀντέσχετε, θᾶττον*
*δ' ἂν ἐξετρίβητε τὴν ἐκείνων μὴ στέγοντες προσβολήν, ὡς ἡ συμβολὴ ἡ μία*
*ἐκείνη παρέστησε. Καὶ ἡμῶν δὲ εἰς τόδε δυσπραγίας κατενεχθέντων, ἡ Ἐκ-*
*κλησία τῆς ἀνέκαθεν οὐ μετέβαλε καταστάσεως, ἀλλὰ ἀμεταπτώτως ἄχρι*
100 *καὶ τήμερον τῇ Θεοῦ μένει χάριτι. Καὶ οὐχ ἡ Κωνσταντίνου μόνον ἀλλὰ καὶ*
*Ἀλεξάνδρεια καὶ Ἀντιόχεια καὶ Παλαιστίνη τοὺς πατριάρχας ἑαυτῶν οὐκ*
B 152 *ἀπέβαλον, οὐδὲ ἴσχυσεν ἡ τῶν ἀσεβῶν | ἐθνῶν ἐπικράτεια τῶν Ἐκκλησιῶν*
*παρασαλεῦσαι τὴν τάξιν ἢ τῶν προεστώτων ἀποστερῆσαι. Ὑμῖν δὲ ἡ Ἐκ-*
*κλησία μεμέρισται καὶ δύο πάπαι τελοῦσι τὸ σήμερον ἀλλήλοις ἀντίθετοι,*
105 *καὶ ἑκάτερος ἑκάτερον καὶ ἅπαν τὸ ὑπ' ἐκείνῳ τελοῦν ἀποτροπιάζεται,*
*καὶ ἀφορισμῷ καθυποβάλλει καὶ ἀναθέματι, ὥστε πάντας ὑμᾶς ὑποκεῖσθαι*
*τοῖς παλαμναιοτάτοις ἐπιτιμίοις καὶ μηδένα χριστιανὸν εἰλικρινῶς καὶ*
*ἀναμφιλέκτως εἶναι πιστεύεσθαι. Καὶ ἡμῖν μὲν ἐν ταῖς πόλεσιν, ἐν αἷς οἱ*
*βάρβαροι τὴν ἐπικράτειαν ἔχουσιν, αἱ Ἐκκλησίαι τῶν οἰκείων οὐμενουν*
110 *ἀμοιροῦσι ποιμένων, τῶν δὲ παρ' ὑμῖν ἀρχιερέων οὐδένα ἂν σχοίητε δεῖξαι,*
*χώραν ὅλως ἔν τινι τῶν τοιούτων ἔχοντα πόλεων. Εἰ γὰρ καὶ ἐν τοῖς σωματι-*
*κοῖς δυσπραγοῦμεν, ἀλλ' ἐν οἷς ἡ πρὸς τὸν Θεὸν ἡμῖν οἰκείωσις, χάρις Σοι*
*Κύριε, ὅτι τούτων οὐδ' ὁτιοῦν ἀπεβάλλομεν. Καὶ τῶν πόλεων γὰρ ἡμῖν τοῖς*
*ἀθέοις ἔθνεσιν ἁλουσῶν, ἡ Ἐκκλησία τὸ ἑαυτῆς ἀμετάβλητον ἀποσῴζει*
115 *σχῆμα, καὶ ἀρχιερεῖς καὶ ἱερεῖς καὶ διάκονοι ἐν μέσοις ἔθνεσι τὰ τοῦ βαθμοῦ*
*ἀκωλύτως ἀνύουσι καὶ ἑκασταχοῦ τὰ θεῖα ἱερουργεῖται μυστήρια, καὶ τὸ*
*ὕδωρ εὐχῇ καὶ σφραγῖδι παρὰ τῶν κατὰ τόπον ἱερέων ἁγιαζόμενον ἐναργῆ*
*τῆς χάριτος σῴζει τὰ σύμβολα, ὡς ἐκ τῆς ὁρωμένης διαυγείας καὶ καθαρό-*
*τητος, μηδὲν πάσχον ὅσα εἰκὸς παθεῖν ὕδωρ ἀκινητοῦν, τὴν ἀόρατον πιστοῦ-*
120 *σθαι ἐν αὐτῷ τοῦ Πνεύματος ἐπιφοίτησιν, καὶ οἷα παρ' ἡμῖν οἷα τέ ἐστιν*
*ἱερωσύνη τελεῖν παρίστησι τηλαυγῶς. Ἀπώσθησαν μὲν γὰρ καὶ Ἑβραίων*
*τὸ φῦλον Θεοῦ, ἀλλὰ μετὰ τῆς ἔξωθεν ἐλευθερίας καὶ τὰ θεῖα αὐτοῖς αὐχή-*
*ματα ᾤχετο· ἐξέλιπον γὰρ αἱ θυσίαι, ἐξέλιπε βασιλεία, ἐξέλιπεν ἱερωσύνη,*
*ἐξέλιπε προφήτης, ἐξέλιπεν ἡ τοῦ μέλλοντος δήλωσις, ἐξέλιπεν ἡ τοῦ ἱλαστη-*
125 *ρίου φωνή.*

*Παρ' ἡμῖν δὲ τῶν ἱερῶν καὶ θείων ὅσα τοῦ Θεοῦ τὴν πρὸς ἡμᾶς*
*ἐγγυᾶται ῥοπὴν καὶ ὅσα πρὸς αὐτὸν φέρειν δύναται, τὸ σωτήριον φημὶ βά-*

---

94 *προσεχέστεροι ὄντες* B *προσεχέστερον ὄντες* KV *προσεχέστερον ἰόντες* P
95 *ἐπιστάμεθα* P 98 *ἡμῶν δὲ* B 99 *ἀμετάπτωτος* V 103 *τάξιν: πίστιν* et supra lin. K 104 *τήμερον* codd. 107 *ἐπιτιμίοις* B *τούτοις ἐπιτ.* codd. 110 *τῶν δὲ παρ' ὑμῖν* B *τῶν παρ' ὑμῖν δὲ* codd. 119 *παθεῖν* om. B 120 *παρ' ἡμῶν* P



*πτισμα, τὴν τοῦ Κυριακοῦ σώματος τελείωσιν, τὴν τῶν ἱερέων χειροτονίαν*
*καὶ πᾶσαν ἄλλην ἱερὰν τελετήν, ταῦτα παρ' ἡμῖν ἀμείωτα σῴζεται καὶ χάρις*
B 153 *τῷ ἡμῶν δεσπότῃ καὶ | κηδεμόνι ὅτι τῆς σωματικῆς εὐετηρίας διὰ βίου ἀπο-*
*πεσόντες φαυλότητα τῶν εἰς σωτηρίαν φερόντων οὐκ ἐστερήμεθα. Καὶ ἡμεῖς*
*μὲν εἰ καὶ ἐπηρεαζόμεθα, ἀλλ' ὑπὸ τῶν ἀθέων ἐθνῶν τοῦτο πάσχομεν, καὶ*
*παραμυθία τις ἡμῖν οὐ σμικρὰ τούτου χάριν, διὰ τὴν εὐσέβειαν μισουμένοις*
*καὶ τὰ δυσχερῆ ταῦτα πάσχουσιν, ὅπερ ἄρα δεῖγμα μέγιστον τῆς εἰς ἡμᾶς*
135 *τοῦ Θεοῦ προμηθείας καὶ ἀρρήτου κηδεμονίας, δέον δίκας ὑπὲρ ὧν ὁ βίος*
*ἡμῖν πλημμελῶς ἔχει ἀποτιννύναι, παρ' ἀθέων ἐθνῶν τοῦτο πάσχειν, οἳ*
*αὐτοὶ ἅμα καὶ Θεῷ καὶ ἡμῖν ἀπομάχονται, ὡς ἂν καὶ ἡμεῖς μετὰ τοῦ Θεοῦ*
*πολεμώμεθα καὶ μὴ ἔκτισις ἁμαρτιῶν ἁπλῶς ᾖ τὰ τῆς ἐπηρείας, ἀλλὰ καί,*
*εἰ μὴ μαρτύριον, μαρτυρίου ἐγγύς. Εἰ γὰρ καὶ Θεὸς εἰς ὄφλησιν ἁμαρτιῶν*
140 *τῆς καθ' ἡμῶν ἐπικρατείας τοῖς ἀσεβέσιν ἀφίσταται, ἀλλ' ἐκεῖνοι καὶ δι' αὐ-*
*τὴν ἡμῖν ἀπεχθάνονται καὶ δυσμεναίνουσι τὴν εὐσέβειαν. Ὑμεῖς δὲ πάσχετε*
*μὲν καὶ αὐτοὶ τὰ ἀνήκεστα, ἀλλ' οὐ παρὰ τῶν ἔξωθεν, ἤδη δὲ παρ' ὑμῶν*
*αὐτῶν ἀλλήλοις ἐπιμαινόμενοι καὶ πολέμους συνάπτοντες, αὐτῶν τῶν ὑμετέ-*
*ρων παπῶν παρατασσομένων ἀλλήλοις καὶ τὸν κατ' ἀλλήλων πόλεμον αἰρο-*
145 *μένων, καὶ αἵμασιν ἀδελφικοῖς τοὺς ὑπ' αὐτοῖς ἀναγκαζόντων καταχραίνειν*
*τὰς δεξιάς, καθ' ὃ τῶν μαινομένων οὐδέν τι διενηνόχατε, οἳ τὰ ἑαυτῶν κατα-*
*τέμνουσι μέλη. Οὗ τί ἄρα χεῖρον καθέστηκε; Καὶ οὐ τοῦτο μόνον τὸ*
*δεινόν, ὅτι τὰ οἰκεῖα μέλη τιτρώσκετε, ἀλλ' ὅτι καὶ οἱ κτείνοντες καὶ οἱ*
*κτεινόμενοι ὑπεύθυνοι τῇ τοῦ φόνου δίκῃ καθίστανται, οἱ μέν, οἷς τοὺς*
150 *ὁμοπίστους ἑαυτοῖς καὶ ἀδελφοὺς ἀποσφάττουσιν, οἱ δέ, ἐφ' ᾧ φιλαρχίας*
*χάριν καὶ τυραννίδος εἰς σφαγὴν τῶν ὁμοφύλων παρεσκευάσθησαν καὶ ἀνδρο-*
*φόνοι τὴν γνώμην εἰσί, κἂν φονευθέντες αὐτοὶ ἤδη τοῦ σκοποῦ διημάρτοσαν.*
*Καὶ ἡμεῖς μὲν τοῖς ἀθέοις ἔθνεσι συρρηγνύμενοι καὶ νικῶντες, εὐέλπιδες*
*καθεστήκαμεν τοὺς παλαμναιοτάτους καὶ Θεῷ διαφορωτάτους διεργαζόμενοι,*
B 154 *καὶ ἐκδικηταὶ Χριστοῦ χρηματίζοντες· καὶ πίπτου | σιν εἰς μαρτυρίου λόγον*
*ἡμῖν ἡ σφαγὴ λογισθήσεται, ἐν τῷ πολεμεῖν ὑπὲρ Χριστοῦ πεπτωκόσιν.*
*Αὐτὸ γὰρ τὸ μαίνεσθαι καθ' ἡμῶν τοὺς ἀλιτηρίους τούτους καὶ τὰ δεινότατα*
*δρᾶν ἐκ τῆς κατὰ τοῦ ἐνθέου δόγματος ἡμῶν ἀκαθέκτου μανίας ἔπεισι τού-*
*τοις. Ὁ γοῦν πρὸς τοὺς μὴ δι' ὁτιοῦν ἕτερον διαφερομένους ἡμῖν, ὅτι μὴ τὴν*
160 *εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν εὐσέβειαν, ἀντιταττόμενος καὶ πίπτων, ἄντικρυς*
*ὑπὲρ αὐτοῦ Χριστοῦ πέπτωκεν. Ὃς γάρ, ἐνὸν εἰς τὰ ἐξάγιστα καὶ ἄθεα*
*ἐκείνων ἤθη μεταβαλεῖν καὶ ἐνσπόνδους αὐτίκα σχεῖν τούτους, μᾶλλον δὲ*

---

130-131 *ἐκπεσόντες* codd. 133 *σμικρὰ* B *μικρὰ* codd. 140 *καὶ* om. B
147 *χεῖρον* vel *ἐλεεινότερον* suppl. B 152 *τὴν γνώμην* B *ἡ γνώμη* KP post *κἂν* add. *καὶ* V 160 *ἀντιττόμενος* e lapsu K 162 *αὐτίκα* codd. *αὐτοὺς* B

*καὶ τῆς παρ' ἐκείνοις ῥαστώνης καὶ ἀνέσεως μεθ' ὅσης τιμῆς ἀπολαύειν, ταῦτα παρὰ φαῦλον τιθέμενος μισεῖσθαι παρ' ἐκείνων ἀνέχεται καὶ ἐλαύνε-*
165 *σθαι καὶ αὐτὸ βιαίως τὸ ζῆν ἀφαιρεῖσθαι, διὰ Χριστὸν πάντα πάσχει τὰ εἰρημένα. Τοῦ δὲ διὰ Χριστὸν πάσχειν, τί ἄρα μακαριώτερον; ἢ τί τῶν ὅσα γε εἰς τὴν ἐκεῖθεν φέρει μακαριότητα ἀξιοχρεώτερον; 'Υμεῖς δέ, τοῦ τῆς ὑμετέρας πίστεως τοῖς ἐχθροῖς ἀφέμενοι πολεμεῖν, τοῖς ὁμοπίστοις μάχεσθε οἱ ὁμόπιστοι, καὶ ταὐτὸν πεπόνθατε, οἷον ἄν, εἴ τις παρ' ἑτέρων πληττόμενος,*
170 *ἀφεὶς τὸ διαμάχεσθαι πρὸς τοὺς πλήττοντας, ὁ δὲ τὰ οἰκεῖα καὶ αὐτὸς παίοι μέλη. Καὶ οὕτω μὲν ἔχει τὰ καθ' ὑμᾶς.*

*Καὶ ἐν οἷς δὲ βίου καθαρότης θεωρεῖται καὶ πολιτείας ἀκρίβεια, ἡ καθ' ἡμᾶς μερὶς ὑπερτεροῦσα φαίνεται πολλῷ τῆς ὑμετέρας μερίδος. Καὶ σωφροσύνην γὰρ καὶ ἐγκράτειαν, ταπείνωσίν τε καὶ ἀγρυπνίαν καὶ ναῶν*
175 *εὐκοσμίαν ἱερῶν καὶ εὐταξίαν ἐν ταῖς θείαις καὶ ἱεραῖς τελεταῖς, σεμνότητά τε ἱερέων καὶ ἀρχιερέων ἁγιοπρεπῆ κατάστασιν, κἂν καὶ οὐχ ὅσην ἐχρῆν, ἀλλ' οὖν ἐν τῇ καθ' ἡμᾶς 'Εκκλησίᾳ πλείω ἂν εὕροις ἀκριβωσάμενος ἢ τῇ ᾗ προσεχώρησας. Ἅπας γὰρ νόμος καὶ θεσμὸς ἱερός, ὁ ἐγκράτειαν καὶ σωφροσύνην εἰσηγούμενος, ἠπράκτησε παρ' ὑμῖν καὶ τελείως ἠθέτηται, καὶ*
180 *πλήρης ἀκολασίας ὁ βίος ὑμῖν καὶ ἀκαθαρσίας πάσης, οὐχὶ τῷ κοινῷ λαῷ μόνον ἀλλὰ καὶ τοῖς μονάζουσι καὶ οὐχ ὅπως τοῖς μονάζουσιν ἀλλὰ καὶ τοῖς τῷ κλήρῳ κατειλεγμένοις, εἴτε διάκονοι ὦσιν εἴτε πρεσβύτεροι· ναὶ μὴν καὶ οἱ τὸν τῆς προεδρίας βαθμὸν εἰληχότες, οὓς ἔδει καὶ τῶν ἐκ τοῦ λαοῦ τοὺς ἀναξίους εἴργειν δαπέδου τοῦ ἱεροῦ κατὰ τοὺς θείους θεσμούς, οἱ δὲ*
185 *καὶ πορνείαις καὶ μοιχείαις ἐγκαλινδούμενοι τῷ θείῳ αὐθωρὸν προσίασι θυσιαστηρίῳ καὶ τὸ μέγα, φεῦ, καὶ φρικτὸν Χριστοῦ σῶμα καὶ μεταχειρίζονται καὶ ἐσθίουσιν.*

*'Αλλ' ἕως πότε παρεξετάζομεν τὰ ἀσύγκριτα; Ἔχεις τὸ οἰκεῖον συνειδὸς ἔλεγχον ἔνδοθέν σε διδάσκον, ποία τῶν δύο τούτων μερὶς οἰκειοτέρα*
190 *Θεῷ. Σπούδασον οὖν, ἀνάνηψον, καὶ δεῦρο τῆς κρειττόνων μερίδος θᾶττον γενοῦ. Οὐ γὰρ ἀποκέκλεισταί σοι τὰ τῆς εἰς τὸ κρεῖττον μεταβολῆς, εἰ δ' οὖν, ἀπώλου μονώτατος. 'Ο πάντας καλῶν εἰς μετάνοιαν Κύριος παράσχοι τῇ ψυχῇ σου ἐπίγνωσιν ἀληθείας σωτήριον. 'Ιωσὴφ μοναχοῦ τοῦ Βρυεννίου.*

---

163 post *ὅσης* add. *τῷ* V *ἀπολαβεῖν* P 166 *δὲ* om. V 180 *πάσης* B *ἁπάσης* codd. 184 *εἴργειν* B *ἀπείργειν* codd. 190 post *τῆς* add. *καὶ* codd. 191 *ἀποκέκλησθαί σοι* P



# ΠΙΝΑΚΕΣ

## I. ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ



## II. ΛΕΞΕΩΝ

## ΙΑ'

B 155 **Τῷ ἐν ἐπισκόποις εὐλαβεῖ κυρῷ Μακαρίῳ τῷ τῆς Ἀμμοχώστου. Ἐν Κύπρῳ.**

*Ἥδομαι ὑποθέσει ἁπάσῃ, ἣ προσδιαλέγεσθαι τῇ σῇ με παρασκευάζει
σεβασμιότητι. Εἰ γὰρ καὶ μὴ οἴκοθεν εὐπετῶς πρὸς τοῦθ᾽ ὁρμᾶν ἔχω, τῇ
ἐθάδι πρὸς τὰ κρείττω νωθρότητι, ἀλλὰ χαίρω παρ᾽ ἄλλων ἑλκόμενος. Ἡ
δ᾽ ὑπόθεσις τίς ἄρα τυγχάνει ἡ τοῦτό γε ἀπαιτοῦσα;*

5 *Ἀνήρ τις τῶν ὑμεδαπῶν ἤδη προσῆει μοι οἰκείου ἅλωσιν υἱοῦ παρὰ
τῶν ἐξαγίστων Ἀγαρηνῶν τραγῳδῶν· ὃς μετὰ βαρεῖαν τὴν ἀποτίμησιν
ὀψὲ καὶ μόλις τῆς ἐκείνων ἐπικρατείας ῥυσθεὶς — δύο γὰρ πρὸς τοῖς ἑξήκοντα
χρυσοῖς ἐκρίθη καταβαλέσθαι — τὸ ἡμέτερον κατείληφε δάπεδον, Γεώργιος
τὸ ὄνομα ὁ πατήρ, Μάρκος δὲ ὁ υἱός, Κρίσκης αὐτοῖς ἡ ἐπίκλησις, Κυρήνεια*
10 *δὲ κατὰ τὸ συνεχέστερον αὐτοῖς ἡ πατρίς. Ὁ τοίνυν πατήρ, κατὰ ζήτησιν
τοῦ οἰκείου παιδὸς ἐξεληλυθώς, καὶ τοῦτον ἤδη δεῦρο κατειληφότα, ὥσπερ*
B 156 *εἰρήκειν, εὑρών, μεγίστων κάτοχος ὤφθη φροντί|δων, ὅπως ἂν αὐτῷ γέ-
νοιτο τὰ λύτρα τοῦ παιδὸς ἀποτῖσαι, βαρυτάτης μὲν οὔσης τῆς ἐκτιμήσεως,
δυσπορίστων δ᾽ ὅτι μάλιστα τῶν χρημάτων. Οὔτε γὰρ αὐτὸς οἴκοθεν ἔχει*
15 *καταθέσθαι διὰ πενίαν καὶ τὸ παρὰ τῶν φίλων ἐρανίσασθαι ταῦτα οὐχ ἥκι-
στα δυσχερές, εἰ μή τις αὐτοῖς ἔξωθεν πρὸς τοῦτο προτροπὴ καὶ παράκλησις
γένοιτο. Τοῦτο δ᾽ οὐκ ἂν ἄλλος τις πλέον ἢ ἡ σὴ θεόπνους δυνήσεται γλῶττα,
ἧς ἄρα πολλοὶ οἱ καρποὶ καὶ πλείστη τῷ Θεῷ δι᾽ αὐτῆς ἡ τῶν σωζομένων
προσένεξις. Τοῦτο τοίνυν ὁ τὴν συμφορὰν παθὼν ἄνθρωπος ἀντιβολεῖ δι᾽ ἐμοῦ,*
20 *καὶ παρὰ τῆς σῆς αἰτεῖ φιλανθρώπου ψυχῆς. Οἶδε γὰρ ὅτι τῆς χρηστῆς σου
γλώττης ἐξήρτηται πᾶς ὁ λαὸς καὶ οὐκ ἔστιν οὐδὲν ἄρα, ὃ μὴ σοὶ πάντως
ἀνύσιμον, τῇ βιαίᾳ τῶν λόγων πειθοῖ, μετὰ τῆς παρομαρτούσης ἡδύτητος,
ἢ τῇ χάριτι μᾶλλον εἰπεῖν τοῦ Θεοῦ, ἥ σοι ῥᾷστα τίθησι πάντα, καὶ πᾶν ἀντι-
πῖπτον καὶ αὐθαδιάζον, εὐπετὲς καὶ πειθήνιον δείκνυσιν. Ἐπικάμφθητι τοι-*

---

**ΙΑ'** Tit.: in marg. *συμβουλευτικὴ* KV
8 *χρυσοὺς* B 9 *Κυρηνία* B 15 *φίλων* B *φιλοχρίστων* codd. 20 *ὅτι* B *ὅπως* codd. 21 *σοὶ πάντως*: *συμπάντως* P



25 *γαροῦν καὶ τοῦ προσιόντος τῇ συμφορᾷ καὶ φίλου παράκλησιν δυσωπήθητι,
ὡς ἄρα τὸ περιπαθὲς αὐτοῦ δάκρυον οἰκτείροις, μᾶλλον δὲ καὶ ἀμφοτέρων,
πατρὸς δηλαδὴ καὶ υἱοῦ. Ἱκέτης σοι ὑπὲρ αὐτῶν ἤδη πρόσειμι, καὶ ἑκατέροις
τοῖς μέρεσι, τό τε κατ᾽ ἐμὲ λέγω καὶ τὸ κατ᾽ αὐτούς, πειθήνιος ὄφθητι.
Καὶ ἥσεις μὲν ἐμὲ ὅτι πλεῖστα, ὀνήσεις δὲ καὶ τοὺς περιστατηθέντας, καὶ*
30 *τούτων οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον, πάντας ὅσοι τῇ πρὸς σὲ εὐπειθείᾳ διὰ
τοῦ ἐράνου τῆς χρηστότητος τὸ συμβὰν ἀτύχημα τοῖς ἀνδράσι παραμυθή-
σαιντο, καὶ τέλος πολὺς καὶ ἄφατός σοι παρὰ τῷ Θεῷ μισθὸς ἀποκείσεται,
τοῦτο μὲν τοῦ πρὸς τὸν πλησίον ἐλέου, τοῦτο δὲ καὶ τῆς κατὰ ψυχὴν τῶν
σοὶ πειθομένων ὀνήσεως, ἥν, εὖ οἶδα, καὶ πρὸ τῆς ἡμῶν εἰσηγήσεως, αὐτὸς*
35 *αὐτεπιτάκτως διὰ βίου καρποφορεῖς τῷ Θεῷ, μηδ᾽ ὁτουοῦν ἄλλου σπουδαζο-
μένου σοι ἢ ὅπως ἂν ἄρα Θεὸς ἐκ τῆς σῆς γλώττης ψυχῶν ὅτι πλείστων ἀπε-
νέγκοιτο σωτηρίαν καὶ στόμα Χριστοῦ καὶ αὐτὸς ὀφθείης. Πρόσχες οὖν*
B 157 *τοῖς γράμ|μασι καὶ σύνες τοῖς λόγοις μου, καὶ καθάπερ ὑπέσχου καλούμενος,
οὕτω καὶ πλήρου ἑπόμενος. Οὐ γὰρ ἀρκεῖ τὸ κληθῆναι μόνον καὶ ἁπλῶς*
40 *προσχήματι ἕπεσθαι ἀλλὰ καὶ καλοκαγαθίας δεῖ τῆς μετὰ τὴν προσέλευσιν.
Ὧ γὰρ κλήρῳ προσεληλύθεις, τοῦτον ἄρα καὶ θεραπεύειν ἐπείγου, τὰ ἐκείνῳ
θυμήρη πληρῶν. Καὶ μὴ ἄλλῳ προσεληλυθὼς ἄλλον θεράπευε, μηδὲ ἄλλῳ
συνταξάμενος ἑτέρῳ καθυπηρέτει, ἵνα μὴ δίκας ὄφλῃς, ὧν τὰς συνθήκας
ἐψεύσω, ἵνα μὴ ἐκείνῳ συγκαταδικασθῇς, ᾧ καὶ πληρωτὴς τῶν θυμήρων*
45 *ἐτέλεις. Τί γάρ, εἰ καὶ συναρίθμιος φὴς εἶναι τοῦ ἡμετέρου κλήρου, τὸ ἔρ-
γον πολλῷ μεῖζον τοῦ λόγου καθέστηκεν, ὥσπερ ἀλήθεια σκιᾶς καὶ εἰκόνος
ἀρχέτυπον. Ὅρα τοίνυν μὴ ψιλοῖς μὲν λόγοις χαρίζῃ ἡμῖν, τὸ δὲ μεῖζον τῆς
ὑπείξεως μέρος ἑτέροις προσνέμοις, ἀλλ᾽ οἷς συνέθου, τούτοις ὕπεικε κατὰ
πάντα, ὡς ἂν οὕτω σὺν αὐτοῖς, κἀνταῦθα κἀκεῖσε, προθέσει καὶ λόγῳ καὶ*
50 *ἔργῳ συναριθμῇ.*

*Εἴη σου ἐν Θεῷ εὐεκτοῦσα ἡ ἁγιότης εἰς πολλῶν ψυχῶν περιποίησιν.
Βρυεννίου μοναχοῦ Ἰωσήφ.*

---

26 *ὡς* scripsi *ὃς* codd. B 28 post *λέγω* add. *δὴ* PV 34 *ὀνήσεται* K 36-37 *σοι* ∽ *ἀπενέγκοιτο* om. B 41 *ἐπείγου* codd. *ἐπεῖγον* (fors. *ἐπείγου*) B 51 *περιποίησιν* PB *παραποίησιν* KV

# ΠΙΝΑΚΕΣ

## I. ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ



## II. ΛΕΞΕΩΝ



**30 - 5 - 1987**



## ΙΒ'

### Βασιλικὸν

B 157

*Ἥσθην τοῦ σοῦ κράτους δεξάμενος γράμματα, ἀνεκτησάμην τε ἐμαυτὸν καὶ ἀντὶ μυρίων ἀπέχω ταῦτα τῶν ἀγαθῶν. Ἀλλ' ὅ γε πέπονθα ταῦτα διεξιὼν ἐσκεμμένως, ἄρτι καλὸν ἐξαγγεῖλαι.*

*Ὡς γὰρ πρὸς τοῦ κομίσαντος Σπηλιώτου λαβὼν ἐκεῖνα τοῖς χείλεσί* 5 *μου προσῆψα τὴν τούτων ἐπιγραφήν, καὶ ἀναπτύξας ταῦτ' ἀνεγίνωσκον, οὐ βασιλικὰ ᾤμην ἰέναι γράμματα μόνον, ἀλλ' αὐτόν σε τὸν ταῦτ' ἐπιστείλαντα κράτιστον βασιλέα ὁρᾶν ἐπῄει καὶ προσκυνεῖν καὶ φαντάζεσθαι. Ἀμέλει πολλὴν ἐντεῦθεν καὶ ἄρρητον ἐκαρπούμην τὴν εὐφροσύνην. Ἐπάλθη μου* B 158 *ἡ καρδία, μετεώριστο ἡ ψυχή, ἐπῆρτο ὁ λο|γισμός, καὶ ὅλως ἐνώπιόν σοι* 10 *μετ' ἐκπλήξεως παρεστάναι ἐνόμιζον. Τοσοῦτον ἄρα ἰσχύει βασιλικῶν γραμμάτων ὑποδοχὴ καί, ἐγρηγορότος τοῦ σώματος, ἐνύπνια βλέπειν βιάζεται τὸν προσεχόντως αὐτὰ μετιόντα καὶ σχετικῶς. Ταύτῃ τοι καὶ αὐτός, μειδιῶν ἅμα καὶ χαίρων, ταῦτ' ἀμείβομαι τοῖσδε τοῖς γράμμασιν. Ὅτι πολλὰ τῷ σῷ κράτει καὶ μεγάλα ὀφείλων, κραταιότατέ μοι βασιλέων καὶ ὑψηλότατε,* 15 *εὔνοιαν ἐκ ψυχῆς, ἀγάπην ἀπὸ καρδίας, ἐκ γλώττης ἐγκώμια, περὶ πάντων τῶν ὧδε χρηστὰ εὐαγγέλια, προσκυνήσεις διὰ πραγμάτων καὶ εὐχὰς πρὸς Θεὸν ἐξ ὅλου τοῦ νοῦ, ἅπαντα τάδε σημηνάμενος τῷδε τῷ μέλανι τῇ σῇ ἀναφέρω ὑπεροχῇ. Καί γε δέομαι τῆς ὑπερτάτου Τριάδος πρὸ τῆς μακαρίας καὶ ἀϊδίου ἐκείνης ζωῆς καὶ τὴν ἐπίκηρον ταύτην εὐτυχῶς ἐπιτεῖναί σοι, ὅτι* 20 *πλείστη χρεία τῆς τοῦ σοῦ κράτους ἐνταῦθα ἐπιμονῆς, οὐχ ὡς τῆς σῆς μεγαλοπρεπείας τοῦ ζῆν τοσοῦτον ἐφιεμένης, ἀλλ' ὡς τῶν πραγμάτων, ἂν μὴ μακρῷ τῷ χρόνῳ τῇ ζωῇ ἐπιμείνῃς, καὶ ἀδικουμένων καὶ φθειρομένων. Ὅτι καὶ νόμου δεῖται φυλακῆς καὶ συνεχείας πόνων καὶ τάχους περὶ τὰς γνώσεις καὶ μὴ κατ' ὄψιν κρίσιν καὶ μὴ χρημάτων ἧτταν καὶ ἀνδρὸς χά-* 25 *ριτας διδόναι ἐπισταμένου, καὶ ὅτῳ καὶ ὅτε καὶ ὅσας καὶ ὡς, εὐεργετεῖν τε,*

---

**ΙΒ'** 1 *τὰ τοῦ σοῦ* PV 9 *ἐπῆρτο* VB *ἐπήρθη* KP 17 *Θεὸν* om. P 18-19 *τῆς ἀϊδίου καὶ μακαρίας ἐκείνης ζωῆς* codd. *τῆς μακ. καὶ ἀϊδ. ζωῆς* B 23 *τάχους* KB *τάχος* PV

*ὡς λόγος ἁγίων αἱρεῖ, καὶ ὧν δεῖ τοῖς ὠφελοῦσι παρὰ τῶν εὖ πεπονθότων οὐκ ἀτυχεῖν, κεκτῆσθαί τε πρὸς μὲν τοὺς καιροὺς λογισμόν, πρὸς δὲ τοὺς ἐναντίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν, συνέχειν τοὺς φί-λους ταῖς δωρεαῖς καὶ τοὺς ἐχθροὺς εὐεργεσίαις φιλοτιμεῖσθαι. Τὰ τοῦ γέ-*
30 *νους ἐλαττώματα καλύπτειν τοῖς οἰκείοις πλεονεκτήμασι, τῷ στερρῷ τοῦ φρονήματος ἀρχέτυπον εἶναι φιλανθρωπίας καὶ καρτερίας ὑπόδειγμα, καὶ τῇ τοῦ λόγου δυνάμει τῆς 'Εκκλησίας κρατύνειν τὰ δόγματα. Ἃ δήπου πάντα ἡ σὴ μόνη θεόστεπτος βασιλεία ἀξίως πλεονεκτοῦσα, μακρᾶς ζωῆς καὶ ὑγείας*
B 159 *ἀξία καθέστηκε. Τοιγάρτοι καὶ πάντες οἱ νοῦν ἔχον|τες ἀνὰ τὴν οἰκουμένην*
35 *ἅπασαν ἄνθρωποι καὶ ἀνακηρύττουσιν ἐπαίνοις καὶ στεφανοῦσι τοῖς ἐγκω-μίοις καὶ ἀήττητον εὔχονται διαμένειν τὸ κράτος σου. Χαῖρε τοίνυν ἐν τούτῳ, εὐφραίνου ταῖς ἀρεταῖς, ἀνδρίζου τῇ εὐσεβείᾳ, μεγαλύνου τῇ φιλοσοφίᾳ καὶ καταγελῶν πάσης ἐπαγομένης σοι κατὰ τούτων ἐπιβουλῆς, ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε, καὶ ἡμῶν, εἰ μή τι κωλύει, μὴ διαλίποις ἐρῶν.*
40 *Τοῦ τῶν σῶν δούλων δούλου καὶ τῆς σῆς βασιλείας εὐχέτου, μοναχοῦ 'Ιω-σὴφ τοῦ Βρυεννίου.*

---

30-31 *τοῦ φρονήματος* codd. *τῶν φρονημάτων* B 33 *ὑγίας* codd. *ὑγιείας* B 37 *τῇ*² om. PV 40 *σῆς* om. B

ΠΙΝΑΞ ΛΕΞΕΩΝ





## ΙΓ'

B 159 **Τῷ λογιωτάτῳ ἀνδρῶν κυρῷ Μανουὴλ τῷ Πόθῳ 'Εν Λακεδαιμονίᾳ.**

*Ὅταν μόνον ἀναμνησθῶ σου τῆς ἀρετῆς, θυμηδίας πληροῦμαι καὶ ἡδο-νῆς. Καὶ τίς γὰρ οὐκ ἂν ἀγάσαιτό σου τὸ εὔστολον τῆς ἡλικίας, τὸ τοῦ προσώ-που αἰδέσιμον, τὸ χάριεν τῶν λόγων καὶ τὸ τοῦ ἤθους χρηστὸν καὶ ἐπιει-κές; Ὡς ἔγωγε οἶμαι, πᾶς ὁ δυνάμενος συνορᾶν ὁπωσοῦν, ἐπιβαλεῖν σοι*
5 *θελήσας, ἐκ πρώτης ἂν ἡττηθείη βαλβίδος. Ὃ δήπου καὶ αὐτὸς πεπονθώς, οὔτε περιστάσεων ὄχλῳ οὔθ' ἡμερῶν πλήθει, οὐ διαστήματι τόπου τῆς πρὸς σὲ διαθέσεως εἴργομαι, ἀλλ' ἀεὶ καὶ ὁρῶ καὶ φαντάζομαί σε τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς, θαυμάζω, ἐπαινῶ, μακαρίζω, φιλῶ, αἰδοῦμαι καὶ ἐν διανοίᾳ σε πανταχοῦ περιφέρω, τῷ σῷ ὀνόματι ἥνωμαι, καὶ σύνειμί σοι τῷ τῆς ἀγά-*
10 *πης νόμῳ τῆς ἀληθοῦς.*

*Τοίνυν σοι καὶ τὸ φίλτρον δηλῶσαι ᾠήθην, ἐπεὶ καὶ ἄλλως ἀφεστηκό-σιν ἡδύ τι τοῖς φίλοις τὰ ἀλλήλων εἰδέναι. Τοῦτο δὲ γίνεται διά τε γραμμά-των καὶ λόγων αὐτοῖς, ὧν τὸ πρῶτον πρὸς σὲ πρῶτος αὐτὸς ποιῶν, ὡς ὁρᾷς, σὴν δεξιὰν κινῶ πάντως, τὴν πρὸς ἡμᾶς διάθεσιν οἷα, γράμμασιν ἐπιση-*
15 *μήνασθαι. Γράφε τοίνυν θαρρούντως φιλοσοφίας, μᾶλλον δὲ θεολογίας ἀπτό-*
B 160 *μενος· καὶ μηδὲν ἡμᾶς τῶν παρερχομένων τουτωνὶ καὶ ματαίων, | τοῦ περὶ τῆς ἡμετέρας ἐλπίδος Χριστοῦ, λέγειν τι καὶ ἀκούειν ἀεί, ἀποστήτω. Ὧν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς εἶναι χρή, τῆς γῆς ἀφεμένων, καὶ τῶν ὅσα τοῦ παρόντος αἰῶνος, τούτων δήπου καὶ τοῖς λόγοις τῆς τοῦ Θεοῦ ἀδιαλεί-*
20 *πτως ἀγαθότητος ἔχεσθαι καὶ σοφίας προσήκει, ἵνα, ὥσπερ ὁ Δεσπότης ἡμῶν, οὐ τοῖς αἰωνίοις στεφάνοις ἡμᾶς ἀμείβεται μόνον, τῆς αὐτοῦ θεωρίας καὶ ἀφράστου κοινωνίας ἀξιῶν, ἀλλ' ἤδη καὶ λόγῳ κοσμεῖν ἡμᾶς αἱρεῖται, νῦν μὲν εὐλογημένους τοῦ Πατρός, νῦν δὲ δούλους ἀγαθοὺς καὶ πιστούς, νῦν δὲ οἰκονόμους φρονίμους ὀνομάζων. Οὕτω δὴ καὶ ἡμεῖς μὴ μόνον τοῖς*

---

23 - 24 Ματθ. κε' 34, 21, Λουκ. ιβ' 42

---

**ΙΓ'** Tit.: in marg. *ἀναμνηστικὴ* codd.
6 *τόπου* B *τόπων* codd. 13 *αὐτὸς* om. B 14-15 *ἐπισημήνασθαι* KB *ἐνση-μήνασθαι* V *ἐσημήναθαι* P 15-16 *ἁπτόμενα* B 17 *ἀποστήτω:* fors. *ἀφιστάτω* B 19 *τούτων δήπου καὶ τοῖς λόγοις* codd. *τούτων δ. καὶ τοὺς λόγους* B 21 *ἡμᾶς* om. B 23 *δὲ* add. B 24 *νῦν δὲ* KPB *νῦν καὶ* V

25 ἔνδον λογισμοῖς καὶ νομίμοις καὶ τοῦ εὐαγγελίου ἔργοις ἀξίοις τὸ ἐκείνου εὐφραίνωμεν Πνεῦμα, ἀλλ' ἤδη καὶ γράμμασι καὶ ταῖς πρὸς τὸν πλησίον διαλέξεσι τὴν ἐκείνου μεγαλειότητα καὶ δυναστείαν δηλῶμεν. Καὶ τί γὰρ ἂν βέλτιον γένοιτο ἀνδράσιν εἰς Χριστὸν πιστεύουσι τοῦ περὶ Θεοῦ τινὰ διεξιέναι, οἷς ψυχὴ ἄνω αἴρεται καὶ τῶν φαινομένων πάντων ὀλιγωρεῖ καὶ 30 τῇ τῆς τῶν λεγομένων μὴ κατὰ πίστιν, ἀλλὰ κατ' εἶδος γνώσεως, ἐπιθυμίᾳ φλέγεται, τὸ ψῦχος τῆς ἀκηδίας τοῦ βίου καταλιποῦσα καὶ τῶν αἰωνίων καὶ θείων ἀναζωπυρουμένη ἔρωτι; Ὡς ἔγωγε τῆς μελλούσης ἐκείνης καὶ ἐλπιζομένης τοῖς δικαίοις μακαριότητος, ἧς γε νοῦς τὸ μέγεθος οὐ χωρεῖ, ὀφθαλμός τε τὴν λαμπρότητα οὐκ εἶδεν οὔτε οὖς ἤκουσε τὴν ἡδύτητα, ταύ- 35 της δὴ τῆς τοιαύτης προοίμιόν τι ἀτεχνὲς ὁρῶ τὸ ἐνταῦθα τινά, τῶν πολλῶν τοῦ αἰῶνος τούτου θορύβων ἀπαλλαγέντα, ζῆν ἐν λόγοις ἐν οἷς ἄξιον τοὺς τῆς Ἰησοῦ κοινωνίας καὶ θεωρίας ἐφιεμένους. Τοιούτους οὖν λόγους συντιθέμενος καὶ ἐπιστέλλων ἡμῖν, εὔφραινε καὶ σαυτὸν καὶ ἡμᾶς καὶ τὸ Πνεῦμα Κυρίου τὸ ἅγιον.

40 Ἡ χάρις τοῦ Θεοῦ διατηροῦσά σε εἴη ψυχῇ τε καὶ σώματι εἰς ἡδονὴν ἐμὴν καὶ ψυχῆς λυσιτέλειαν. Ὁ πάντα τὰ σὰ καὶ ἀγαπῶν καὶ ἐπαινῶν καὶ θαυμάζων, Ἰωσὴφ μοναχὸς ὁ Βρυέννιος.

---

33-34 πρβλ. Α' Κορ. β' 9

---

28 *Χριστὸν* VB *θεὸν* KP 31 post *καὶ* add. *τῷ* V 36 *ἀπαλλαγέντων* PK (et supra *-ων α* K)

ΠΙΝΑΞ ΛΕΞΕΩΝ





## ΙΔ'

**B 161 Τῷ εὐδοκίμῳ καὶ εὐφυεῖ καὶ σπουδαίῳ ἐν Ἰατρικῇ, καὶ Ῥητορικῇ καὶ Φιλοσοφίᾳ, κυρῷ, Μανουὴλ τῷ Ὁλοβόλῳ. Ἐν Θεσσαλονίκῃ.**

Οἶδά σου τὴν ἀγάπην τὴν γνησίαν καὶ θερμήν, οὐδενὶ μαραινομένην τῶν ὅσα ταύτην λυμαίνεσθαι πέφυκεν. Οἶδα ὡς καὶ ἀποδημήσας γράμματα βούλει λαβεῖν παρ' ἐμοῦ καὶ ταῦθ' εὑρεῖν κατὰ λόγον συντεθειμένα, ἐκεῖνο διὰ τὸ πρός με φίλτρον, τοῦτο διὰ τὸν πρὸς τοὺς λόγους θερμότατον ἔρωτα, 5 μᾶλλον δὲ καὶ τοῦτο δι' ἐμέ. Ἀποδεχόμενος γὰρ εὐδοκιμεῖν με ἐν ἅπασι τοῖς καλοῖς, χαίρεις ὁρῶν με καὶ τέχνῃ, οὐχ ὡς ἔτυχε, γράφοντα. Διά τοι τοῦτο κἀμοὶ γράφειν ἀνάγκη πρὸς σέ, καὶ ἐπιστολιμαίῳ τύπῳ πειρᾶσθαι τοῦτο ποιεῖν, ἕως ἔξεστιν. Ὃ δὴ ποιεῖν μὲν προθύμως ἔχω καὶ ἐφετῶς, πλὴν οὐδ' οὕτως σοι δύναμαι τὴν ἐπιθυμίαν πληροῦν. Σὺ μὲν γὰρ κάλλος ἐπιστο- 10 λῶν ἐθέλοις ἂν παρ' ἡμῶν, τὸ δ' ἡμέτερον πόρρω τοῦ δύνασθαι τοιαῦτα ποιεῖν. Ὅμως δ' οὖν, ὅπερ ἰσχύω ποιεῖν ἤδη ποιῶ, καίπερ ἀδυνατῶν τῷ κάλλει τῶν ἐν τοῖς γράμμασι ὀνομάτων εὐφρᾶναί σε. Διὰ γοῦν τῶν ἐγκειμένων ἐν τούτοις ἀγγελιῶν τέρψαι βούλομαι, ἵν' ὥσπερ, εἴ γε παρῇς, ἐκοινώνεις ἂν ἡμῖν τῶν χρηστῶν, οὕτω καὶ πόρρω διάγων, ἀπολαυόντων ἡμῶν, συναπολαύοις 15 ἄλλως τῶν ἀγαθῶν.

Πρῶτον οὖν γίνωσκε ὡς οὐκ ἀμνημονῶ τῆς σῆς ἀρετῆς, ἀνακηρύττω δὲ ταύτην καὶ μέμνημαί σου διηνεκῶς, καὶ ὡς παρὼν καὶ χαριέντως συνομιλῶν σοι οὕτω σε ὁρῶ καὶ φαντάζομαι τοῖς ψυχικοῖς ὄμμασι, καὶ τὸν τόπον καὶ τὸν χρόνον καὶ τοὺς λόγους καὶ τὰ ἤθη καὶ τὸν τοῦ προσώπου χαρακτῆρα, B 162 καὶ ἁπλῶς ἅπαντα τὰ σά, ὡς ἕκαστον λέλεκται ἢ πέπρακται ἢ | ἐστιν, οὕτω ταῦτα κατὰ νοῦν θεωρῶ· καὶ οὐδὲ ὁ πᾶς πρόσκαιρος οὗτος αἰών, οἶμαι δὲ οὐδ' ὁ μέλλων ἰσχύσει, σὺν Θεῷ εἰρήσθω τὴν πρὸς σέ μου φιλίαν λήθης βυθοῖς παραπέμψαι ἢ ἀλλοιῶσαι τὸ σύνολον. Τοιοῦτος ἐγὼ διάπυρος φίλος καὶ ἐραστὴς θερμότατος καὶ μνημονικώτατος. Ἔπειτα ἴσθι ὡς ἐν εἰρήνῃ

---

*ΙΔ'* Tit.: in marg. *δοκιμαστικὴ* codd.
10 *δύνασθαι τοιαῦτα ποιεῖν* V *δύνασται τοῦτο ποιεῖν* B *ταῦτα* P 12 *ὀνομάτων* om. P 18 *ὁρῶν* P 19 *τὸν*[1] om. B 21 *ὁ πᾶς πρόσκαιρος οὗτος αἰὼν . . . σὺν Θεῷ εἰρήσθω τὴν* codd. *πᾶς ὁ* (*αἰὼν τὴν* suppl.) B

25 *βαθείᾳ τὰ ἐνταῦθα ἑῷα καὶ τὰ ἑσπέρια. 'Εν εὐθηνίᾳ πολλῇ ἅπαντα τὰ τῆς βασιλίδος, ἐν σταθηρᾷ ὁμονοίᾳ τὰ τῶν φίλων καὶ ἐν μεγάλῃ καταστάσει τὰ τῆς καθ' ἡμᾶς σεβασμίας μονῆς. Κἀμοὶ δὲ ἰδίᾳ ὁ μεγαλόδωρος προστίθησιν ἀεὶ ταῖς ἡδύν μοι τὸν βίον ποιούσαις ἀφορμαῖς καὶ μὴ τῇ ἐμαυτοῦ πρὸς ἐκεῖνον ἐπιστροφῇ μόνον ἥδεσθαι, ἀλλὰ καὶ τῇ τῶν σὺν ἐμοὶ ἀδελφῶν παρέ-*
30 *χει. Οὓς βλέπων τῆς ἐν Χριστῷ κεκρυμμένης ζωῆς ἐχομένους καὶ πονοῦντας σὺν ἡδονῇ πόνους, ὧν ὁ καρπὸς ἔνδοξος καὶ τοῖς νοῦν ἔχουσι ζηλωτός, ἐπιεικῶς χαίρω καὶ χάριτας ὁμολογῶ τῷ Δεσπότῃ τῷ λυτρωτῇ τοῦ κόσμου, ὅτι καθήρας ἡμᾶς τῷ αὐτοῦ αἵματι ὑπὸ τῆς ἰδίας αὐτοῦ χρηστότητος ἐνέγραψε τῷ χορῷ τῶν ἐκείνῳ δουλευόντων, καὶ μελλόντων ἀπολεῖσθαι ὑπὸ ἀγνοίας*
35 *καὶ ἔθους καὶ ἀγροικίας, ὅπως τε τούτων περιγενοίμεθα, ἀντελάβετο, ἐπιχειροῦσι τέ τι τῶν τῆς σωτηρίας ἔργων εὐθὺς συνεφάπτεται, διδοὺς πανταχοῦ ὧν δεῖ τοῖς αὐτὸν θεραπεῦσαι σπουδάζουσιν. 'Εν τούτοις ζῶμεν καὶ οὕτως ἔχομεν, ἄριστε φίλων καὶ γνησιώτατε. Ἕν ἐστι μόνον τὸ πάνυ τρῦχον καὶ δάκνον ἡμᾶς, ἡ τοῦ κρατίστου καὶ ἁγίου βασιλέως ἡμῶν ἀπουσία καὶ*
40 *στέρησις, ὅν, Θεοῦ προαιώνιε Λόγε, ταχέως ἴδοιμεν πάντες ὡς βούλεται.*

*Εἴης μοι ἐν ἅπασιν ὑγιαίνων, εὐθυμῶν, εὐεκτῶν, καί γε διαρκὴς θυμηδία παρείη σοι. Τοῦ τῶν σῶν ἐπαινέτου καὶ γνησίου φίλου, μοναχοῦ 'Ιωσήφ, ᾧ Βρυέννιος τὸ ἐπώνυμον.*

---

28 *ἡδύν μοι τὸν βίον ποιούσαις* B *ἡδύν μοι ποιούσαις τὸν βίον* codd. 30 *ζωῆς κεκρυμμένης* P 32 - 34 *τῷ δεσπότῃ ὅτι καθήρας ἡμᾶς τῷ λύτρῳ (λουτρῷ* P) *τοῦ κόσμου τῷ αὐτοῦ αἵματι ὑπὸ τῆς ἰδίας ἀπείρου χρηστότητος ἐνέγραψε (ἔγραψε* P) *τῷ χορῷ* codd. *τῷ δεσπότῃ τῷ λυτρωτῇ τοῦ κόσμου, ὅτι καθήρας ἡμᾶς τῷ αὐτοῦ αἵματι ὑπὸ τῆς ἰδίας αὐτοῦ χρηστότητος ἐνέγραψε τῷ χορῷ* B fors. *τῷ δεσπότῃ, ὅτι καθήρας ἡμᾶς τοῦ κόσμου τῷ λύτρῳ (λουτρῷ) τοῦ αὐτοῦ αἵματος...* 35 *περιγενοίμεθα* KVB *περιγενώμεθα* P 41 *εὐθετῶν* B 42 post. *γνησίου* add. *σοι* V

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ







## *ΙΕ'*

B 163

### *Τῷ μητροπολίτῃ Ἡρακλείας, πρωτοθρόνῳ καὶ ὑπερτίμῳ κυρῷ 'Αντωνίῳ.*

*Βαθεῖα κατέσχεν ἡμᾶς ἐκ πολλοῦ σιγὴ καὶ πολὺς τῇ ἀφθεγξίᾳ ἐμετρήθη ὁ χρόνος. Οὐκ ἔχω δὲ πότερον τούτου ἄρα αἰτιάσομαι, ἢ ἐμαυτὸν ἢ τὴν σὴν ἱερότητα. Ὅμως ὁπότερος ἡμῶν τούτου αἴτιος, βούλομαι τὸ ἔνθεν ἐκποδὼν οἴχεσθαι τὴν σιωπὴν καὶ παρρησίαν τῷ λόγῳ δοθῆναι καὶ τὴν ὠδῖνα τοῦ*
5 *πόθου τὸ οἰκεῖον ἐκρῆξαι κύημα, καὶ οὓς συμφορῶν κοινωνία ἐγνώρισε, τούτους καὶ γράμματα καὶ λόγοι ἀλλήλοις συνδοῦσιν.*

*'Αλλὰ τί πάθω; Καὶ γὰρ εἰς τοῦτο ὀργῶντα καὶ ὅλον τοῦ ἔρωτος ἐξηρτημένον τῶν λόγων καὶ μηδὲν ἄλλο ὅτι μὴ λόγους μελετᾶν καὶ δημιουργεῖν προθυμούμενον, πρὸς ἄλλ' ἄττα με ὁ ἐπιτεθεὶς βίᾳ ἕλκει ζυγὸς καὶ τῆς ἐθά-*
10 *δος ἄνωθεν καὶ φίλης ἀπραγμοσύνης ἀφέμενον πραγμάτων ὄχλῳ πείθει διομιλεῖν καὶ ἁπλότητι σύντροφον ὄντα πρὸς ⟨τὸ⟩ πολυειδὲς τῶν ἀνθρωπίνων γνωμῶν καὶ πολύστροφον ἀναγκάζει μεταβαλεῖν. Πῶς γάρ, εἰ μὴ ποικίλος τις εἴην τὴν σύνεσιν, εἰ μὴ ἕξιν ἑκάστου καὶ ἦθος εἰδείην καὶ ἔθος, οἷός τ' ἂν εἴην ἐπιστημόνως μετιέναι τὰ κατ' αὐτόν; 'Ιλίγγου οὖν ἄξιον τὸ*
15 *χρῆμα καὶ πτοίας ὅτι πλείστης καὶ τρόμου καὶ δείματος, μὴ ὅτι γε ἐμοὶ τῷ πάντων ἀνθρώπων ἀδρανεστάτῳ, ἀλλὰ καὶ αὐτοῖς, οἷς ὅτι πλεῖστον τὸ περιὸν ἐν συνέσει καὶ ἀρετῇ, οἳ καὶ δαψιλῆ διὰ βίου καθαρότητα τὴν τοῦ θείου Πνεύματος χάριν ἐσχήκασιν. Εὐχῶν οὖν μοι χρεία πολλῶν καὶ παρ' ἐμαυτοῦ καὶ τῶν ἔξωθεν, ὡς μὴ θρήνων ἄξια ὕστερον ὀφθείη τὰ κατ' ἐμέ. 'Αλλ' ἐμοὶ*
20 *μὲν πάντα κοῦφα ἔσται ταῦτα καὶ φορητά, ὑπὲρ ἐμοῦ ἐντυχόντος σου τῷ ὑπὲρ τῶν κατακρίτων ἀποθανόντι.*

*Ἡ σὴ δὲ ἁγιότης, ἀλλ' ἀνάσχου φιλοστόργως μοι προσιόντι σοι, τῆς*

---

***ΙΕ'*** Codex unicus Mosquensis, ex quo edidit B 6 *συνδήτωσαν* coni. pro *συνδοῦσιν* (cod.) Vulgaris in B

B 164 ἀρχῆς ταύτης ἐπιλαβόμενος μέμνησο τίνων ἄρχεις, | τίνας ἄγεις καὶ τίνι
τούτων πέρι μέλλεις λόγον ὑφέξειν. Τοὺς εἰκόνι ⟨λέγω⟩ τετιμημένους Θεοῦ
25 καὶ γεγενημένους αὐτοῦ καθ᾽ ὁμοίωσιν, καὶ Θεῷ, ᾧ πάντα εἰς κρίσιν αὐθω-
ρὸν παραστήσεται, καὶ οὗ πρὸ προσώπου πᾶσα ἡ κτίσις φρίττει καὶ δέδοικεν,
ὃς ἑκάστου τῶν βεβιωμένειν λόγον ἡμᾶς ἀπαιτήσει, ὃν οὐχ ὅπως τῶν
φανερῶν, ἀλλὰ καὶ τῶν ἀφανῶν οὐδὲν ἄρα λέληθε. Τούτων τοσοῦτον ὁ Θεὸς
περιέχεται καὶ οὕτω στέργει τὰ κατ᾽ αὐτούς, ὡς μὴ μόνον κατ᾽ εἰκόνα καὶ
30 καθ᾽ ὁμοίωσιν ἑαυτοῦ δεδημιούργηκε τούτους, ἀλλὰ καὶ παράδεισον αὐτοῖς
ἐχαρίσατο, καὶ τούτου δι᾽ ἀπάτην ἐκπεπτωκότας νόμῳ κατησφαλίσατο,
προφήταις ἐπαιδαγώγησε, δι᾽ ἀνδρῶν ἱερῶν τὸ συμφέρον ἐπέσκηψεν, ἀγγέ-
λοις παρακατέθετο φύλαξι. Δι᾽ αὐτοὺς ἐξέτεινεν οὐρανόν, ἥπλωσεν ἀέρα,
γῆν ἐτεκτήνατο, ἥλιον ἧψεν, ἐξέχεεν ὕδωρ. Τί δεῖ τὰ πολλὰ λέγειν; τῆς φύ-
35 σεως αὐτοῖς ἐκοινώνησεν, ἀδελφοὺς ἑαυτοῦ καὶ κληρονόμους ἀνέδειξεν. Οὕ-
τως ἄρα ὁ Θεὸς αὐτοὺς ὑπεραγαπᾷ, λοιπὸν κρίνων αὐτοὺς καὶ ἄγων ὡς ἀδελ-
φοὺς Χριστοῦ καὶ υἱοὺς Θεοῦ θέσει πάντας ἡγοῦ. Οὕτω γὰρ καὶ τὸν ἀγα-
πῶντα αὐτοὺς πρὸς σὴν ἀγάπην ἐρεθίσεις καὶ αὐτοὺς πρὸς μίμησιν κινή-
σεις ψυχωφελῆ. Μή, ὡς οἱ πολλοί, θελήσῃς μετέρχεσθαι τὴν ἀρχήν· καὶ
40 γὰρ οἱ πλεῖστοι (λέγω δ᾽ ἀληθεύων, οὐ κρίνων) οὐχ ἕτερόν τι ταύτην οἴονται
καθεστάναι τὴν ἱερὰν καὶ θείαν ἵν᾽ οὕτως εἴπω ἡγεμονίαν, ὅτι μὴ ὕλην πρὸς
τὸ δρᾶν ἀναφανδὸν τὰ θυμήρη, χαριζομένης δῆθεν αὐτοῖς τὸ ἀνεύθυνον τῆς
Ἐκκλησίας, διὰ τὸ τοῦ ἀξιώματος ἔξοχον, καὶ οὐ πρὸς τὸ εἰρηνεύειν καὶ
σώζειν τοὺς ὧν ἄρχουσιν, ἀλλ᾽ ἀπολλύναι μᾶλλον καὶ φθείρειν ὑπόθεσιν.
45 Οὕτω γὰρ ἐλέγχει τὸ ἔργον αὐτοὺς ὑπολήψεως ἔχοντας, οἳ οὐχὶ τὸ τῇ πόλει
συνοῖσον, ἀλλὰ τὸ οἰκεῖον κέρδος σκοποῦντες καὶ τοῦτ᾽ ἐκ παντὸς τρόπου
περιποιεῖσθαι θέλοντες, τῆς τῶν ἀλωπεκίδων ἐφόδου τὴν ποίμνην ἐξαιρού-
B 165 μενοι δῆθεν, λύκων οὗτοι τρόπον αὐτῇ ἢ λεόν|των προσφέρονται καὶ παρδά-
λεων, ὥσπερ εἰς αὐτὸ τοῦτο τὸ ἧττον κακὸν ἀποσκευαζόμενοι, ἵν᾽ αὐτοὶ
50 καὶ τὴν ἔλλειψιν ἐκείνων ἀποπληρώσωσιν. Οὗτοι ἄντικρυς αὐτοὶ καὶ δεσπό-
ται τελοῦσιν ὁμοῦ καὶ ἐχθροί, σωτῆρες καὶ λυμαντῆρες, ἔφοροι καὶ πολέμιοι,
τὰ πάντῃ ἀσύμβατα, τὸ μὲν τῷ σχήματι, τὸ δὲ τῷ πράγματι· οὕτω γὰρ βοᾷ
διαρρήδην τὰ πράγματα. Οἰκίας τις προεστηκώς, εἰπέ μοι, ἄσωτός τις ἢ καὶ
δαπανηρός, ὥστε καθ᾽ ἡμέραν τὴν οἰκείαν ὕπαρξιν ἐκμειοῦν καὶ παρὰ πολὺ
55 τὰς ὁσημέραι ἐξόδους τῶν προσόδων πλεονεκτεῖν, τί διοίσει τοῦ ἔξωθεν συ-
λῶντος αὐτὴν ἢ ληϊζομένου; εἰ μὴ καὶ χείρω πολλῷ τοῦτον εἴποις ἐκείνου,
καθ᾽ ἑκάστην ληϊζόμενον τὴν οἰκίαν καὶ καταστρέφοντα. Ὥσπερ γὰρ σκώ-
ληξ τῇ ἐντεριώνῃ τῶν φυτῶν ἐμφύς, ἀνεπιδεᾶ ταῦτα δείκνυσι τῆς ἔξωθεν
ἐπιβουλῆς, αὐτὸς ἔνδοθεν κατεσθίων καὶ διαφθείρων, οὕτω καὶ πόλις τοὺς
60 αὐτῆς ἐπιστατοῦντας συντελεστὰς εὑρίσκουσα καὶ ἐκμειωτὰς τῶν ἔξωθεν
ἥκιστα πολεμίων δεῖται πρὸς τὴν καθαίρεσιν. Ὥσπερ δὲ οἱ ἐκδεδιῃτημένως
βιοῦντες καὶ τὰ οἰκεῖα ἀφειδῶς ἀναλίσκοντες, τὸ παρὸν ἡδὺ μόνον σκοποῦν-



τες, τὴν ὕστερον λίμωξιν καὶ τὴν παντελῆ τῆς οἰκίας οὐκ ἐννοοῦσιν ἐρήμωσιν,
οὕτω καὶ τῶν προεστώτων οἱ πλείους τῇ ἐξουσίᾳ τὸ τήμερον καταχρώ-
65 μενοι, καὶ τῶν ἐπιστατουμένων τὴν εὐπορίαν ἀφειδῶς ἀναλίσκοντες, οὐ λόγον
ποιοῦνται τοῦ ἐφεξῆς, ἀλλὰ τὸ παρὸν καρποῦσθαι βουλόμενοι, τὸ μεθ᾽ ἡμᾶς,
φασί, κατὰ τὴν Ἐκκλησίαν μενέτω. Τοῦτο δὲ χρὴ σκοπεῖν, ὡς ὅπερ οἰκία
ἐστὶν ἐν βραχύτητι καὶ συστολῇ, κατά τε περιοχὴν καὶ οἰκήτορας, τοῦτ᾽ ἄρα
καὶ πόλις ἑκάστη καὶ Ἐκκλησία, ἐν ἐκτάσει καὶ πληθύϊ τόπου καὶ οἰκητό-
70 ρων καθέστηκεν, ὡς συμβαίνειν τὴν οἰκίαν μὲν πόλιν καὶ Ἐκκλησίαν εἶναι
συνεσταλμένην, οἶκον δέ τινα μέγιστον καθεστάναι τὸν ναὸν ἢ τὴν πόλιν.

Λόγον τοιγαροῦν ἐπέχει ὁ τοῦ οἴκου μὲν δεσπότης τοῦ τῆς πόλεως ἄρχον-
τος, οὗτος δ᾽ αὖ τοῦ τῆς Ἐκκλησίας ἐπιστατοῦντος. Ὅσον οὖν λόγον ποιεῖ-
σθαι ὀφείλει ὁ πρῶτος τοῦ τὴν οἰκίαν αὐτῷ συνεστάναι, ὅ τε δεύτερος|
B 166 τοῦ εὐνομεῖσθαι τὴν πόλιν, τοσοῦτον κατ᾽ ἄμφω προσήκει ποιεῖσθαι τῆς
Ἐκκλησίας καὶ τὸν ἐπίσκοπον, οὐ δεσποτικήν, ἀλλὰ πατρικὴν πρὸς πάντας
ἢ καὶ διδακτικὴν διάθεσιν ἐνδεικνύμενον, ἕνα γνήσιον δεσπότην εἰδότα καὶ
Κύριον, τὸν ἐπὶ πάντων Θεόν. Ἑαυτὸν δὲ μὴ κύριον ὧν ἄρχει δοκεῖν, ἀλλ᾽ ἀδελ-
φὸν καὶ ὁμόδουλον, ἐπεὶ καὶ αὐτὸς τὴν αὐτὴν αὐτοῖς ἔλαχε φύσιν, καὶ τὸν
80 αὐτὸν ἔσχε χοῦν τοῦ βίου προπάτορα, τῷ αὐτῷ τε κατὰ τὴν διάλυσιν τοῦ σώ-
ματος λειτουργήσει νόμῳ καὶ τῷ αὐτῷ δικαστῇ παραστήσεται. Ἐγκεχείρι-
σται δὲ αὐτῷ τὰ τῆς ἐκείνων ἀρχῆς, ὡς ἂν τῇ μὲν προμηθευτικῇ διαθέσει
πατὴρ αὐτῶν ᾖ, τῇ δὲ πρὸς τὰ κρείττω προτροπῇ καὶ τῇ τῶν χειρόνων ἀπο-
τροπῇ διδασκάλου τόπον ἀποπληροῖ. Ἐπεὶ οὖν φιλεῖ τὸ ἀρχόμενον ὡς τὰ
85 πολλὰ συνεξομοιοῦσθαι τοῖς ἄρχουσι καὶ αὐτοκελεύστως τὰ πρὸς χάριν
ἐκείνοις καὶ πρὸς μίμησιν ἐκτελεῖν, κἂν ὁποῖα τυγχάνοι, ὡς ἂν παράδειγμα
εἰς ἀγαθὸν πᾶσιν ᾖ, πάντα διασωθήσεται τὰ οἴκοι, ὡς τῷ Θεῷ φίλον. Τοὺς
περὶ αὐτὸν ἅπαντας εὐκόσμως καὶ ἀνεπιλήπτως ἐθίσει βιοῦν. Οὐκ ἐνασμενί-
σει οὐδ᾽ ὁτῳοῦν ὅσοι τὸν τρόπον σκαιοὶ καὶ φαυλόβιοι. Ἀποδέξεται καὶ στέρ-
90 ξει τοὺς σπουδαίαν ἀγωγὴν καὶ βίον ἀνῃρημένους, ἀποστόργους θήσεται
καὶ στυγηρούς, ὅσοις φαῦλον τὸ ἦθος καὶ φιλομόχθηρον. Φιλότιμος τὸν τρό-
πον ἔσται καὶ εὐεργετικός, ἥδιον αὐτὸς διδοὺς ἢ λαμβάνουσιν ἕτεροι, καὶ
χαίρων οὐ τῷ χρηματίζεσθαι, ἀλλὰ τῷ ἀποπλουτεῖν Θεῷ καὶ τοῖς πένησιν.
Ὦτα καὶ χεῖρας ἀνοίξει τοῖς δεομένοις, εὐέντευκτος τοῖς προσιοῦσιν ὢν καὶ
95 εὐπρόσιτος, κἂν τῶν εὐτελεστάτων εἶεν, κἂν τῶν φαύλων τὴν τύχην καὶ
ἀκλεῶν. Οὕτω δὲ μετρίως ἔχων τοῦ ἤθους καὶ προσηνῶς ἐν τοῖς ταπεινοῖς,
ἐν τοῖς σοβαροῖς καὶ ὑπερόφρυσι τὸ ἐμβριθὲς ἐπιδείξεται, τοὺς μὲν τοῦ δέους
ἐξιστῶν τῇ μετριότητι, τοῖς δὲ συστέλλων τὴν ὀφρὺν τῇ στιβαρότητι. Ὡς
παίδων οἰκείων, ὡς ἀδελφῶν, ὡς πατέρων, ἑκάστων φροντιεῖ τῶν ἀνὰ τὴν
100 ποίμνην. Τότε ἑαυτὸν εὖ πράττειν λογίσεται, ὅτε εὐπραγοῦντας ὁρᾷ τοὺς
ὑφ᾽ ἑαυτόν, δυσπραγίαν δὲ ἑαυτοῦ τὴν ἐκείνων δυσημερίαν ἡγήσεται. Καὶ

B 167 ὡς ἔπος εἰπεῖν, | οὕτως ἡσθήσεται τῇ ἐκείνων εὐετηρίᾳ, ὥσπερ δῆτα τῇ ἑαυτοῦ, καὶ οὕτω τῇ ἐκείνων ἀλγήσει κακοπραγίᾳ, ὥσπερ εἰ αὐτὸς ἐκεῖνος ἦν ὁ κακοπραγῶν. Καὶ οὐχ ὡς οἰκείων τῶν τοῖς ὑπηκόοις προσόντων μετα-
105 ποιήσεται, ἀλλὰ τὸ ἀνάπαλιν τὰ ἐκείνῳ προσόντα τοῖς ὑφ' ἑαυτῷ προσήκειν οἰήσεται. Τοιοῦτον δή τινα, ὡς ἐν τύπῳ εἰπεῖν, τὸν ψυχῶν προϊστάμενον εἶναι χρεών.

'Αλλ' ἔλαθον ἐμαυτὸν ἐκ τῆς πρὸς σέ μου στοργῆς εἰς τοῦτο κατενεχθείς, ὃν ἐχρῆν μὲν τῶν ἐμαυτοῦ κακῶν μόνων φροντίδα τιθέμενον, ταῦτα θρηνεῖν
110 τε καὶ ἀποδύρεσθαι, ἐπεὶ θρήνων μοι τὰ εἰργασμένα καὶ ὀδυρμῶν ὄντως ἄξια —καὶ πῶς γὰρ οὔ;—ἃ τὸ θεῖον ἐκπολεμεῖ μοι καί με τῆς ἐκεῖ καθίστησι δίκης ὑπόχρεων. 'Αλλ' ἡ τῆς κακίας τὸ νῦν εἶναι ἐπίτασις οὕτω ῥαγδαίως ἡμῖν ἐπεισφρήσασα, ὡς καὶ μέχρι τῶν τῆς 'Εκκλησίας προχωρῆσαι ποιμένων, καὶ τοὺς διδασκάλους, οἴμοι, τῆς ἀρετῆς ἀρχέτυπα γίνεσθαι πρὸς κακίαν
115 τοῖς ὑπ' αὐτούς, τοῦτο, τῶν οἰκείων ἀφέμενον, τὰ ἀλλότρια διεξιέναι με καὶ οἰμώζειν παρασκευάζει. 'Αξιῶ δὲ καὶ τὴν σὴν ἱερότητα μή μοι νεμεσῆσαι τοῦ ἐγχειρήματος, αὐθάδειάν τινα καὶ ἰταμότητα τὸ χρῆμα θεμένην. Οὐ γὰρ κρίνειν βουλόμενος τοὺς κριτὰς οὐδὲ διαβάλλειν τοὺς διδασκάλους οὐδὲ νομοθετεῖν τοῖς νομοθέταις, εἰς τοῦτο κατέστην, ἀλλ' οἰκτιζόμενος καὶ ἐλεῶν,
120 ὅπερ ἔφθην, τὰ καθ' ἡμᾶς, εἰς τοῦτο φαυλότητος ἥκοντα, καὶ τὴν σὴν ἁγίαν ὑπομιμνήσκων ψυχὴν τῶν πημένων καὶ τῶν ποιμένων, ὡς ἂν τοὺς μὲν ἀποφεύγῃς, τοὺς δὲ μιμῇ. Τὸν γὰρ τῶν ἀπολλυμένων ψυχῶν οἶκτον ἐκ τῆς προεστώτων ῥαθυμίας οὐκ οἶμαι μὴ τῆς σῆς μάλιστα καθικνεῖσθαι ψυχῆς.

Εἴης ἐρρωμένως πρὸς τῆς Παντοκράτορος δεξιᾶς, ἁγιώτατε πάτερ, καὶ
125 τὸ θεῖον ὑπὲρ ἡμῶν ἱλεούμενος. 'Ο κατὰ πάντα τῆς σῆς ἁγιότητος 'Ιωσὴφ ὁ Βρυέννιος.

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ







## ΙϚ'

B 168 **Τῷ πανιερωτάτῳ μητροπολίτῃ Κιέβου καὶ πάσης 'Ρωσίας Φωτίῳ, τῷ ὑπερτίμῳ, καὶ ἐμῷ δεσπότῃ καὶ φίλῳ γνησιωτάτῳ, καὶ κατὰ Πνεῦμα πατρί. 'Εν 'Ρωσίᾳ.**

Οὐ θαυμαστὸν εἴπερ ἀπροφασίστως, ὡς ἄν τις οἰήσαιτο, τολμήσας γράφω τῇ σῇ ἁγιότητι. 'Ο γὰρ πρὸς ταύτην ἔρως οὕτω με καθίστησι πρόθυμον, ὥστε, εἰ οἷόν τε ἦν, συνεχῶς ἐπέστελλον ἄν. Οὓς γὰρ ἔρως πρός τινα ἀναγκάζει διακαής, ὅταν μὴ ἔχωσιν ἐκ τοῦ σύνεγγυς τῷ ἐρωμένῳ συγγίγνεσθαι,
5 γράμμασι τὸ ἀνιῶν ἀλθαίνειν πως δοκιμάζουσι, τῇ ἐν τούτοις γοῦν προσφθέγξει ἑαυτοῖς τὸ ἀκεσώδυνον μετρίως περιποιούμενοι. Εἰ τοίνυν καὶ αὐτὸς διαπύρου ἔνδειξιν φιλίας ἔοικα τὸ πρὸς σὲ γράφειν προβάλλεσθαι, ἀλλὰ (τὸ ἀληθὲς γὰρ οὐκ ἀρνήσομαι) ἐμαυτῷ τῇ ἀληθείᾳ χαρίζομαι. Καὶ γὰρ ὅσης ἡμᾶς ἡδονῆς ἐνέπλησεν ἡ τῆς σῆς ἁγιότητος ἐνδημία, τοσοῦτον ἡ ἐκδημία
10 ταύτης, τὸ ἄλγος ἐνῆκεν ἡμῖν. Ὥσπερ γὰρ φαιδρόν τι καὶ ἁπάντων ἥδιστον τῶν ὁρωμένων ὁ ἥλιος ὤν, ὅσον ἥδειν πέφυκε τοὺς ὁρῶντας, τοσοῦτον λυπηρὸν τοῖς ζημιωθεῖσι τοῦτον καθίσταται, οὕτως ἄρα καὶ τῶν ἀγαθῶν ἀνδρῶν αἱ συνουσίαι ὅσον ἴσασι τέρπειν τῇ χρήσει, τοσοῦτον ἀποποιούμεναι δυσφόρητοι καθεστήκασιν. Ἔπεισιν οὖν ἡμῖν οὐχ ἥκιστα γλίχεσθαι τοῦ μαθεῖν
15 ὅπως ἔχει τὰ τῆς σῆς ἱερότητος καὶ εἰ ἔρρωταί σοι τὸ σῶμα (τὸ γὰρ τῆς ψυχῆς ἡμῖν οὐκ ἀμφίλεκτον) καὶ εἴ σοι τὰ τοῦ βίου εὐμαρῆ καὶ θυμήρη, καὶ ἐξάντη δυσχερείας ἁπάσης ἀνύεται· τοῦτο γὰρ εὐχῆς τῆς μεγίστης ἔρ-

---

**ΙϚ'** Tit.: in marg. *ἐρεθιστικὴ* codd. 1 *κυέβου* codd. *Κιαίβου* B *Ρωσσίας Ρωσσίᾳ* B 3 *γνησίῳ* codd. *γνησιωτάτῳ* B
3 *εἰ* om. P 5 *γράμμασιν ἀλθαίνειν τὸ ἀνιῶν πως* P 6 *ἀκεσώδυνον* B *ἀσώδυνον* codd. 11 *τῶν ὁρωμένων* B *τὸ ὁρώμενον* codd. 11-12 *λυπηρὸν* B *λυπηρὸς* codd. 13 *τοσοῦτον ἀπο(ποιούμεναι)* cetera desiderantur in K 14 *λήχεσθαι* P 16 *καὶ εἴ σοι : καὶ ὅ σοι* P *καὶ ὅσα* V

*γον ἡμῖν καὶ τοῦτο μαθεῖν ἱμειρόμεθα. Καὶ γραφὴν ἀφεθῆναι αἰτοῦμεν ἡμῖν, ἀριδηλότατα ὡς ἔσχηκε παριστῶσαν τὰ σά. Ἐπεὶ οὕτως ἡμᾶς εἷλες καὶ|*
B 169 *σαυτῷ τῇ τῶν τρόπων συνῆψας χρηστότητι, ὡς καὶ νῦν εἰς Ῥωσίαν ἀπαγαγεῖν καὶ πεῖσαι ἀεὶ ἀχωρίστως συνεῖναί σοι. Καὶ ἄλλοι μέν σου τῇ τῆς ἀξίας μεγαλειότητι καὶ τῇ τοῦ πλούτου βριθοσύνῃ, τῇ τε τῆς παρρησίας χώρᾳ καὶ τῷ μεγέθει τοῦ Ἔθνους, οὗ τὴν ἐπιστασίαν ἐπιστεύθης, συνήδονται, ἡμεῖς δ' αὐτοῖς τοῖς πράγμασι συνηδόμεθα τῆς σῆς ἕνεκα μεγαλοπρεπείας.*
25 *Ποιοῦμεν δὲ τοῦτο, ἵνα μὴ δόξωμεν δι' ἐκείνων κοσμεῖν σε, ἀλλὰ μᾶλλον ταῦτα νομίζειν καλλύνεσθαι διὰ σοῦ, ὅτι οὐκ ἐκεῖνα ἐπισπῶνται τὴν ἀρετήν, ἀλλ' ἡ ἀρετὴ κἀκεῖνα καὶ ἄλλα μυρία τῶν καλῶν ἐπιφέρεται. Ἐπειδὴ τοιοῦτον ἡ ἀρετή· οὐκ ἔξωθεν δανείζεται τιμάς, ἀλλ' αὐτὴ ἐν ἑαυτῇ περιφέρει ταύτας καὶ διανέμει οἷς ἄξιον, τιμὴν παρεχομένη τοῖς πράγμασιν, οὐ δι' αὐ-*
30 *τὰ τιμωμένη. Ὅθεν ἀφαιρουμένης αὐτῆς ἀπό τινος, πάντα συναφαιρεῖται ταύτῃ τὰ ἀξιώματα· ὅτῳ δ' αὖ προστεθῇ, τούτῳ καυχήσεως στέφανος καὶ δόξα περιετέθη ἀκήρατος. Ἀμέλει καὶ τῇ σῇ κεφαλῇ τὰ μετὰ τὴν ἀρετὴν ἐπενεχθέντα τῶν ἀγαθῶν ἐκοσμήθησαν μᾶλλον ἢ κατεκόσμησαν. Διὰ δὴ τοῦτο οὐ τὸν ὄλβιον καὶ πεπαρρησιασμένον μητροπολίτην Ῥωσίας ἁπλῶς*
35 *φιλοῦμεν ἡμεῖς, ἀλλὰ τὸν πολλῆς μὲν ὑπακοῆς, πολλῆς δὲ συνέσεως, πολλῆς δὲ γέμοντα ταπεινοφροσύνης ἱερώτατον Φώτιον. Διό σε καὶ εὐδαίμονα ἡγούμεθα, οὐκ ἐπειδὴ πλούτῳ κομᾷς ἀμυθήτῳ, ἀλλ' ἐπειδὴ δαψιλεστέραν ἔλαβες ὕλην εἰς ⟨τὸ⟩ τὴν φιλάνθρωπόν σου γνώμην καὶ τὴν φιλοφροσύνην ἐνδείξασθαι. Ταύτῃ τοι καὶ τοῖς πτωχεύουσι καὶ ἀδικουμένοις συνηδόμεθα, τὸν*
40 *πλατύν σου λιμένα τῆς ψυχῆς ὁρῶντες, μυρία δυνάμενον λῦσαι ναυάγια καὶ τοὺς εἰς ἔσχατον κλυδωνίου ἐλθόντας παρασκευάσαι πλεῖν ἐξ οὐρίας. Διὰ ταῦτα σκιρτῶμεν, χαίρομεν, τὴν σὴν ζωὴν καὶ ὑγίειαν κοινὴν ἑορτὴν τῶν ἐπηρεαζομένων καὶ περιστατουμένων νομίζοντες, ἧς καὶ αὐτοὶ ἀπολαύομεν, οἰκείαν ἡδονὴν εἶναι τιθέμενοι τῶν σῶν κατορθωμάτων τὸ μέγεθος. Καὶ*
45 *αὐτὸς δὲ εἰδὼς ἡλίκον ἐστὶ νεανικὴ ψυχὴ καὶ γενναία καὶ τόν, οὗ διάδοχος*
B 170 *γέγονας, ἐν τοῖς καλλίστοις ζηλῶν, ἀληθείᾳ, πραότητι, καὶ δικαιοσύνῃ | καὶ τῇ τῆς σπουδῆς κοινωνίᾳ τῆς φήμης ἀποδεχόμενος, σκόπει πῶς ἂν ὑπεράξιος γένοιο, καὶ μὴ καταισχύνειε τὰ ὅπλα τὸν στρατιώτην. Τῷ μὲν γὰρ μακαρίτῃ ἐκείνῳ ἀρκεῖ τὸ παρῳχηκέναι, σοὶ δὲ τὸ μέλλον ἐν ζυγοῖς ἵσταται.*
50 *Κἂν τι τῶν ἀδοκήτων ἐπισυμβῇ, ὃ μὴ συμβῆναι ἀμήχανον, μὴ ἀποκάμοις, ἀλλὰ γενναίως ἐπίκεισο ἀτρέπτῳ γνώμῃ καὶ ἀκμαζούσῃ τῇ προθυμίᾳ τὴν παρὰ σαυτοῦ συμμαχίαν εἰσφέρων, ἄριστα λογιζόμενος ὅτι καὶ κυβερνήτην ὁ τῆς θαλάττης μακρὸς χειμὼν μάλιστα καὶ διεγείρει καὶ δείκνυσι θαυμα-*

23 *ἐνεπιστεύθης* PV 32-34 *ἀμέλει καὶ τῇ σῇ διὰ δὴ τοῦτο οὐ τὸν ὄλβιον καὶ πεπαρρησιασμένον* PV cetera desunt 47 post *κοινωνίᾳ* add. *τὴν* V



*στὸν καὶ ἰατρὸν ἄριστον τὰ χαλεπὰ καὶ δυσίατα τῶν σωμάτων νοσήματα,*
55 *καὶ τὸν εὐσεβείᾳ ζῆν ἐσπουδακότα ἡ τῶν καιρῶν δυσκολία καὶ πειρασμῶν οἱ ἐπωφελεῖς. Ταῦτ' οὖν πάντων μᾶλλον αὐτὸς διακρίνων καὶ κραταιοῦ, καὶ ἀνδρίζου καὶ ὑπερνίκα καὶ μέμνησο τῆς ἐμῆς ψυχῆς πρὸς Θεόν.*

*Ἐρρωμένη καὶ εὐεκτοῦσα ἡ σὴ ἁγιότης διαβιῴη καὶ παντὸς θυμήρους ἐπαπολαύουσα, εἴς τε ἀπείρων ψυχῶν ἐπιμέλειαν, εἴς τε δόξαν Θεοῦ καὶ τοῦ*
60 *γένους ἡμῶν ἐπικαύχησιν. Καὶ αἱ ἅγιαί σου εὐχαὶ εἴησάν μοι ἀεὶ φυλακτήριον. Ἰωσὴφ Μοναχοῦ τοῦ Βρυεννίου, ὃν καὶ πρὸ τοῦ ἰδεῖν ἐφίλεις καὶ ἐν τῷ ὁρᾶν ἔστεργες καὶ μετὰ τὸ θεάσασθαι ἀγαπᾷς διὰ Κύριον.*

55 post *καὶ*[2] add. *τῶν* V 58 *διαβιώῃ* V ⟨*εἴη*⟩ B vacuum supplens 59 post *ἐπιμέλειαν* add. *καὶ τῆς ἐμῆς λυσιτέλειαν* V

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ



## ΙΖ'

B 170

### *Ἀλεξίῳ*

*Πολλάκις καλάμου τῇ δεξιᾷ μέλανι βεβαμμένου καὶ χάρτου ἀγράφου τῇ εὐωνύμῳ λαβόμενος καὶ ἤδη γράφειν σοι μέλλων, ἀφῆκα πάλιν. Τί γὰρ ὁ δύστηνος πάθοιμι λογιζόμενος. Ἂν γράψω πιττακικῷ ἀφορῶν χαρακτῆρι,*

***ΙΖ'*** E cod. M edidit B (pp. 170 - 171) et T (p. 126)

*πολλοὺς ἔχω τοὺς ⟨τῷ⟩ ἀπλοϊκῷ ἐγκαλοῦντάς μοι. Ἂν ἐπιστολιμαίῳ, τοὺς τῷ*
5 *κομψῷ. Ἂν σιγῶ, κατηγοροῦμαι τὸ μὴ εἰδέναι. Ἂν λαλῶ, τὸ φανητιᾶν.*
B 171 *Ὡς | δύναμαι, οὐ βούλομαι· ὡς ἐθέλω, οὐκ ἰσχύω. Οὕτω μου καὶ ἡ βούλησις*
*ἠσθένει καὶ ἡ ἰσχὺς ἐνεποδίζετο. Συμφορά μοι συμφορὰν ἔλυε καὶ πάθος*
*πάθος ἰᾶτο, καὶ δι' ἑτέρων κακῶν τὰ κακὰ ξένως παρηγορεῖτο.*

*Οὕτω διακειμένῳ μοι ἐπῆλθε νεανικώτερόν τι λογίσασθαι, ὅτι τὸ μὴ*
10 *πρὸς ἐπίδειξιν σπουδάζειν αἱρεῖσθαι αἴτιον ῥαθυμίας ἐσχάτης πολλοῖς πολλά-*
*κις ἐγένετο, οἳ ἀπὸ τοῦ μὴ δόξαι σπουδάζειν ἀρξάμενοι εἰς τὸ μηδοπωσοῦν*
*σπουδάζειν κατέληξαν· ὧν κίνδυνος ἀμείνους φανῆναι, τοὺς ἐπιδεῖξαι σπου-*
*δάσαντας, ὅτι σπουδάζειν προῄρηνται, καὶ ὁ ἀμφοῖν διαδιδράσκων τὸ ἄτοπον,*
*ἀμωσγέπως ἔρρωται, καὶ οὐδὲν ἑαυτὸν ἤ τινα λυμανεῖται.*

15 *Ταύτῃ τοι καὶ ἵνα μὴ δόξω ἀδικεῖν σε τὸν ἐμοὶ γλυκερὸν ὄντως φίλον,*
*ἰδοὺ τὸ γράψαι νενίκηκεν, ἐν ζυγοῖς καὶ ἀμφιβόλοις στατῆρσι τοῦ σιωπᾶν*
*ἡττηθέντος μοι. Ἀμέλει καὶ τοῦ γράφειν ἀρξάμενος, πρῶτα μὲν χρηστῶν*
*ἀνδρῶν ὅτι φίλῳ, τῆς μακαρίας ἐλπίδος ἐπιλαβέσθαι εὔχομαι. Ἔπειτα δὲ*
*καὶ πᾶσιν ἀγαθοῖς εὐθηνεῖσθαι, μετρίως τοῖς πράγμασι χρώμενον, καὶ οὐκ*
20 *ἀπὸ ῥᾳστώνης. Οὕτω γὰρ καὶ αὐτός σοι συνηδυνθήσομαι, τῶν τοῦ φίλου*
*καλῶν μετέχων τοῦ μέρους, ἀρετῶν βριθοσύνῃ κομῶντος καὶ δαψιλείᾳ. Καὶ*
*τῇ ἀγαθῇ ἀρχῇ καὶ προθέσει ἐφάμιλλα ὡς ἄξιον κεκτημένου τὰ τέλη.*

---

4 *τῷ* add. B

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ

ἄγραφος (χάρτης) 1
ἀμέλει 17
ἀμφίβολος (ζυγὸς) 16
ἀπλοϊκὸς 4
βάπτειν (μέλανι) 1
βούλησις 6
βριθοσύνη 21
γλυκερὸς (φίλος) 15
γράφειν 3, 17
δαψίλεια, ἡ 21
δεξιὰ (χεὶρ) 1
διαδιδράσκειν 13
δύστηνος 3
ἐγκαλεῖν 4
ἐπίδειξις, ἡ 10
ἐπιλαβέσθαι 18
ἐπιστολιμαῖος 4
εὐθηνεῖσθαι 19
εὔχεσθαι 18
εὐώνυμος (χεὶρ) 2
ἐφάμιλλος 22
ζυγός, ὁ 16
ἡττᾶσθαι 17
ἰσχύς, ἡ 7
ἰᾶσθαι (πάθος) 8
κακά, τὰ 8
κάλαμος, ὁ 1
καταλήγειν 12
κομψὸς 5
κομῶ 21
μακάριος (-ία ἐλπὶς) 18
νεανικώτερον (λογίζεσθαι) 9
πιττακικὸς (χαρακτὴρ) 3
ῥαθυμία, ἡ 10
ῥᾳστώνη, ἡ 20
σπουδάζειν 12
στατὴρ 16
συνήδεσθαι 20
τέλη, τὰ 22
χαρακτήρ, ὁ 3
χάρτης (ἄγραφος) 1
χρηστὸς (-ῶν ἀνδρῶν) 17



## *ΙΗ'*

B 171

### *Ἀλεξίῳ*

*Ἄριστέ μοι τῶν φίλων καὶ βέλτιστε, εἴης μοι πρὸς τῆς πανταιτίου φρου-*
*ρούμενος δεξιᾶς.*

*Ἐναγχός σοι τὰς βίβλους σὺν γράμμασι πεπομφὼς τὰς τιμίας, ἐπαπο-*
*στέλλω ἰδού σοι καὶ τὸν ἐμὸν θησαυρόν. Θησαυρὸν ἐμοὶ μὲν καὶ τοῦ τοῦ*
5 *πάλαι Κροίσου ἡδύτερον, πολλοῖς δὲ τῶν φιλοχρίστων χρυσοῦ πολλῷ τιμιώ-*
*τερον. Πλὴν ἀσφαλείας χάριν κιβωτίῳ περικλείσας καὶ κηρῷ σφραγισάμενος*
*τοῦτον ἀπέστειλα, οὕτω μένειν βουλόμενος ἕως ὥρας ἀφίξεως τῆς ἐμῆς.*
B 172 *Οὐ σανίσι πεποιθὼς οὐδὲ κλειδὶ πιστεύων, | ἀλλ' ἐν σοὶ τῷ ἐμψύχῳ μοι θη-*
*σαυρῷ τὸν ἄψυχον περικλείων, ὡς τὴν Ἰλιάδα ὁ Φιλίππου τῷ ὑακινθίνῳ*
10 *κιβωτίῳ ἐνέθηκε. Γράφειν μέντοιγε ἀντιγραφῆς ἕνεκα περιττὸν ἡγησάμην·*
*ὅτι καὶ δίχα ὑπομνήσεως τὴν ταχίστην εὖ οἶδα ἀφ' αὑτοῦ τοῦτο ἐργάσῃ.*

---

9-10 Πρβλ. Πλουτ. 'Αλέξ. 668d, 679 c-d.

---

*ΙΗ'* E cod. M edidit B (pp. 171 - 172)

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ

ἀντιγραφή, ἡ 10
ἀσφάλεια (-είας χάριν) 6
ἄφιξις (-ξεως ὥρα) 7
ἄψυχος 9
βίβλοι, αἱ 3
ἔμψυχος (θησαυρὸς) 8
ἐνθέτειν 10
ἐπιστέλλειν 3 - 4
ἐργάζεσθαι 11
ἡγεῖσθαι 10
θησαυρὸς 8, 4
'Ιλιάς, ἡ 9
κηρός, ὁ 6
κιβώτιον, τὰ 6, 10
κλείς, ἡ 8
πανταίτιος 1
περικλείειν 6, 9
πιστεύειν 8
σανίς, ἡ 8
σφραγίζειν (κηρῷ) 6
ταχίστη, ἡ 11
Φιλίππου, ὁ (='Αλέξαν-
δρος) 9
φιλόχριστος 5
φρουρεῖσθαι 1 - 2
ὑακίνθινος 9
ὑπόμνησις, ἡ 11

## ΙΘ'

B 172

### 'Αλεξίῳ

*Γράμματα πρὸς ἡμῶν λαβεῖν ἐλπίζοντα οἶμαί σε δυσχεραίνειν μὴ εἰλη-
φότα. 'Αλλὰ μὴ πρὸς Θεοῦ, ἑταῖρε μοι δεξιέ. Οὐ ταῦτα τοιαύτῃ ψυχῇ ἁρμόζει
λογίζεσθαι, ὅτι σὺν τῇ ἀποδημίᾳ καὶ τὴν σήν, ὡς ἑνὸς τῶν τυχόντων,
ἀπερρίψαμεν ἀγάπην ἢ τῷ ἐλάττονά σε κρίνειν τῶν φίλων ἄλλοις μὲν καὶ δὶς
5 ἐγράψαμεν ἤδη, σοὶ δ' οὐδὲ τὸ τυχὸν ἐπεστείλαμεν· μὴ ταῦτα ἢ τοιαῦτα περὶ
ἡμῶν δόξαζε. 'Αλλ' ἐκεῖνο ἴσθι μάλα σαφῶς καὶ ἀναμφιλέκτως, ὡς ἄλλον ἐμὲ
ἢ καί τι μείζονα, ἔν τε τῷ ζῆν καὶ εἶναι καὶ κατευοδοῦσθαι, καὶ βούλομαι καὶ
εὔχομαι τὸν ἐμοὶ τὰ πάντα φίλτατον 'Α λ έ ξ ι ο ν τ ὸ ν 'Α π ό κ α υ χ ο ν.
Εἰ δὲ οὐκ οἶδα κολακεύειν ἢ περὶ τὰς θωπείας ἐσχολακέναι, αἷς οἱ πολλοὶ
10 τῶν δοκούντων φιλεῖν χρῶνται, ξένον οὐδέν. Μὴ γὰρ ἀπαιτεῖ καὶ τοῦθ' ὥς
τι σημεῖον φιλίας ἡ κατὰ Θεὸν ἀγάπη ποτέ, ἵνα κατὰ τοὺς ἐν κόσμῳ φιλοῦν-
τας πλείω μειλιχίοις ῥήμασιν ἢ καρδίᾳ ⟨φαίνωνται⟩ φιλεῖν; Μὴ οὖν τῷ τῶν
ἐπιστολῶν ἀριθμῷ τὴν ἀγάπην ἡμῶν ἀντιμέτρει. 'Αλλὰ δήπου καὶ γραφόν-
των καὶ σιγώντων, ἣν περὶ αὐτὴν εἶχες ψῆφον, ταύτην ἀκίνητον διατήρει.
15 Εἰ δὲ δεινὰ φὴς ἡμᾶς πεπονθέναι καὶ δεινῶν πέρα, καὶ ἀποδύρῃ καὶ ποτνιᾶ-
σαι καὶ τὸ τί δρᾶσαι προσαπορεῖς, οὐ μέμνησαι ὅτε παρῄνουν ὅσαι ἡμέραι
σοί τε καὶ παντὶ αἱρουμένῳ καὶ πρό γε πάντων ἐμοί, λέγων μεγάλῃ τῇ φωνῇ :
ἄνθρωποι σύνετε, εἰ καὶ μὴ πρὸ τοῦ, ὅτι τὰ ἐν γενέσει πάντα φθορᾷ ὑπόκειται,
καὶ ὥσπερ σφαῖρα μετακυβεύεται ἀστάτῳ φορᾷ, ὅτι τέφρα, ὅτι κόνις, |
B 173 ὅτι σκιὰ σκιᾶς, ὅτι διήγημα μόνον καὶ ὄναρ παρῳχηκός, καὶ ὁ ζῆν αἱρούμε-
νος εὐσεβῶς οὔτε τῷ πλεονασμῷ τούτων ἐπαίρεται οὔτε ἀλύει τῇ ὀλιγότητι;
Οὐ ταῦτα διὰ παντὸς τοῦ χρόνου διετέλουν ἐπᾴδων καὶ ὅσα τούτοις εἰκὸς
παραπλήσια; 'Αλλ' ἐκεῖνα μὲν ᾤχετο. Παραινοῦμεν δέ σοι καὶ αὖθις μέγα
τι νομίζειν τῶν ἀγαθῶν τὴν ἐκ Θεοῦ παιδείαν, ὅτι πολὺς ἐκ τῶν θλίψεων
25 τούτων ἀναμένει μισθὸς καὶ μεγάλη ἀμοιβὴ καὶ ἀντίδοσις καὶ ἡ τῶν πειρα-
σμῶν φύσις τοῖς γενναίως αὐτοὺς φέρουσι πολλὰ προξενεῖ τὰ βραβεῖα, καὶ
λογίζεσθαι ὅτι, ὡς ἂν μὲν εἶχε τὰ πράγματα φύσεως ἀμετακινήτου, ἐγὼ*

---

***ΙΘ'*** E cod. M edidit B (pp. 172 - 173) et T (pp. 127 - 128)





*μὲν ἔλεγον, τοιαῦτα δ' ἀπέβη. Δεινὸν οὖν, εἰ οὕτως ἐχόντων ὁλικῶς τῶν
γινομένων ἀεί, ἄλλως ἡμεῖς πάλιν αἱρούμεθα περαίνεσθαι τὰ ἡμέτερα. Χαῖρε
30 τοίνυν ἀντὶ τοῦ λυπεῖσθαι, ὅτι καὶ αὐτὸς ἐγὼ ὁ παθὼν πάνυ καὶ λίαν χαίρω.
'Απόκειται γάρ μοι καὶ ἀνάπαυσις καὶ χαρὰ ὑπὲρ τούτου μεγίστη.*

*Ἔρρωσό μοι μακρά.*

### ΠΙΝΑΞ ΛΕΞΕΩΝ



## Κ'

B 173

### Γεωργίῳ

*⟨Ἔκφρασις παραδείσου Νάξου⟩*

*Ἔστι νῆσός τις ἣ καὶ Νάξος καὶ Δία
Κυκλάδων ἥδε πασῶν ἡ μητρόπολις.
Εἰς τήνδε γενόμενος ὡς ἐν παρόδῳ
εἶδον ποταμὸν αὐτῆς ἐν προαστίῳ*

---

***Κ'*** E cod. M edidit B (pp. 173 - 176)

5 *τῆς ἐν νήσῳ πόλεως, τῆς νῦν Ἀξίας,*
*Παρατρέχοντα καλούμενον τοῖς ὧδε.*
*Ἀλλ' εἰ δοκεῖ, τείνωμεν ἐκεῖ τὴν θέαν,*
*ὅπως ἀπ' αὐτῶν τῶν ὀρεινῶν κρασπέδων*
*ὁ καλὸς οὗτος ἐκρέει Παρατρέχων,*
10 *ἰδεῖν μὲν ἡδὺς καὶ κεχρῆσθαι βελτίων·*
*ἐκ μιᾶς ἀρχῆς προϊὼν εἰς τὸ φάος,*
B 174 *ἔπειτα κρουνοὺς ἀφιεὶς βραχυτάτους |*
*ἔνθεν κἀκεῖθεν προρρέοντας ἠρέμα,*
*τὴν γῆν λιπαίνων ὑπὲρ ἧς δῆθεν ῥέει.*
15 *Εὐδαιμονεῖ δὲ πᾶς νομεύς, πᾶς ἀγρότης*
*ὧν ἔσχεν ἐντὸς τῶν ἑαυτοῦ ῥευμάτων,*
*ἡ γῆ δ' ἐπανθεῖ καὶ τὰ θρέμματα τρέφει*
*τῷ τε πληθυσμῷ τῆς νομῆς καὶ τῷ κόρῳ,*
*καὶ τῷ ῥοθίῳ τῷ πίονι, ὡς λόγος.*
20 *Ταῦτα παρ' ὄχθαις χρῆμα καλῆς πλατάνου*
*οὐδὲν πρὸς αὐτὴν ἐστὶν ἐν παραθέσει*
*ἡ Ξερξικὴ πλάτανος ἡ θρυλουμένη.*
*Τὰ μὲν γὰρ ἀκρόπρεμνα στρουθίων ἕδραι,*
*τὰ φύλλα δὲ σκιάζει τὴν γῆν τὴν πέριξ.*
25 *Ἐκεῖ καὶ ῥεῦμα ῥιζόθεν τῆς πλατάνου,*
*οἷον ἐοικός ἐστιν ἐντεῦθεν ῥέον*
*ψυχρόν, διειδὲς καὶ γλυκάζον ὡς μέλι.*
*Λευκαὶ ψηφῖδες τῆς καλῆς ῥοῆς μέσον.*
*Ἐκεῖ καὶ παράδεισος, θαῦμά τι ξένον,*
30 *εἰς μῆκος πολὺ καὶ πλάτος τεταμένος,*
*εὐμήκης, κατάκομος, φυτοῖς ἀλσώδης,*
*φέρων ἀτραποὺς ἀλληλοδιαδόχους.*
*Ἄλσος οὑτοσὶ καὶ τέμενος ἄξιον*
*τῷ τοῦ Αἰγαίου πελάγους πρωτεύοντι,*
35 *οὗ κυκλόθεν μὲν ἕλος ἐστὶν ὡραῖον*
*καὶ τοῦ γείτονος ποταμοῦ παρεκβάσεις,*
*αἳ σὺν μυρίκαις καὶ καλάμοις καὶ ἄγνοις*
*βρίθουσι συχναὶ ἀμπέλοις κατακάρποις,*
*ἕρκος τελοῦσαι τῷ παραδείσῳ νέον.*
40 *Καθύπερθεν μέντοιγε, ἔνθεν κἀκεῖθεν,*
*ὄρη κραταιὰ πρὸς ὕψος αἰρόμενα*
*ἕωθεν, ἐπεὶ πρὸς δυσμὰς κέκλιταί πως,*
*δοκεῖ στεφανοῦν τὸν χῶρον ὡς ἄξιον.*
*Μέσον δὲ δένδρα παντοῖα καρποφόρα,*



45 *κατ' εἶδος, ὡς χρή, στιχηδὸν τεθηλότα,*
*ἴων πόα τε καὶ θέα τερπνὴ ῥόδων*
*τοὺς ἐνορῶντας εὐφραίνουσιν ὅσ' ὧραι.*
*Αἱ κάλικες γὰρ τῶν ῥόδων κεκλεισμέναι |*
B 175 *συναρωματίζουσι συχναῖς βοτάναις,*
50 *γυμνοῦσι πᾶσι τὴν ῥοδόπνοον χάριν.*
*Ἐκεῖ συνεχεῖς οἰκίαι καὶ ποικίλαι*
*ὕδασι κατάρρυτοι καλούσης χρείας*
*τῷ δουκὶ τηρούμεναι, ὅν, Χριστέ, σκέπε!*
*Αὐλαί τε περίστυλοι, ὧν μέσον κρήνη,*
55 *ἡ ὄντως λευκὴ μαρμάρινος φιάλη,*
*πρὸς ὕψος ἐκ γῆς ἠρμένη εὐμηχάνως,*
*λεοντομόρφων ἐρεύγετ' ἐκ στομάτων.*
*Λεπταὶ αἱ αὖραι, διαυγεῖς αἱ ἀκτῖνες·*
*ἥσυχος χῶρος, κελαρύζει τὸ ὕδωρ·*
60 *ὕπνον ἐπάγει τοῖς ὀφθαλμοῖς ὁ ἦχος.*
*Τὰ πάντα τερπνά, θυμήρη καὶ δροσώδη.*
*Ἄπας παρὼν χόρτασον, οὐκ ἔστι φθόνος.*
*Παραφυάδας τὰς κομώσας μοι βλέπε·*
*ἄμπελοι, στύλοις αἰρόμεναι πρὸς ὕψος,*
65 *φέρουσιν ἤδη βότρυας διαφόρους.*
*Καὶ τὰς ἰτέας τὰς ὑψικόμους αὖθις,*
*ἃς ἄμπελος κυκλῶσε γυρωσαμένη*
*ἔνδον πυκάζει λαμπροῦ θαλάμου δίκην.*
*Συνηρεφεῖς γὰρ τοὺς κλάδους κεκτημέναι*
70 *ῥεῖν οὐκ ἐῶσιν αὐτόθι τὸν φωσφόρον,*
*ὑφ' αἷς θαλερή, δροσώδης καὶ εὐώδης*
*ἅπαν τοὔδαφος βοτάνη συγκαλύπτει.*
*Εἶπες ἂν ἰδὼν τὴν Ἐδὲμ δοκεῖν βλέπειν.*
*Ὁρᾷς ἐκεῖνα τὰ δασύφυλλα δένδρα*
75 *πνοῆς βραχείας ἐμπνεούσης ἀνέμου;*
*Τῶν ὀρνέων ἄκουε τῶν ἐν τοῖς κλάδοις*
*ὅπως ἐναρμόνιον ᾄδουσι μέλος.*
*Τοῖς κοττύφοις μὲν ἀντᾴδουσιν οἱ ψᾶρες,*
*ἡ δ' αὖ ἀηδὼν τῇ Πρόκνῃ τῇ συγγόνῳ.*
80 *Φάτται, τρυγόνες, χελιδόνες καὶ σπίνοι,*
*αἱ κίτται πᾶσαι ποικιλοφθόγγῳ μέλει.*
*Καὶ γίνεται θέατρον τὰ δένδρα νέον,*
*κριταὶ δὲ τούτων τῶν μελῶν ὁδοιπόροι.*
*Συκῆν ἐκείνην τὴν ἐπηρμένην ὅρα, |*

B 176
εἰς ἣν ὁ κισσὸς εὐφυῶς ἀνατρέχει,
ἑλικοειδῶς συλλαβὼν πανταχόθεν·
ἐθίζεται γὰρ συμπλοκαῖς ταῖς ἐκ νέου
καὶ σωματοῦται καὶ δοκεῖ πεφηνέναι
ἓν σῶμα, διπλῆν τὴν ἐνέργειαν φέρον.
90 'Εκεῖ μελισσῶν βόμβος, ἦχος τεττίγων,
ὡς ἀνταδουσῶν τῷ μέλει τῶν ὀρνέων.
Ταῦτα, θεατά, πρὸς λόγον εἰκονίζων
δόκει θεᾶσθαι τοῦ βίου τὴν εἰκόνα·
παρατρέχει γὰρ ὡς ποταμὸς ὁ χρόνος,
95 ῥέει σὺν αὐτῷ καὶ παρέρχεται πάντα
τὸν μὴ πλουτοῦντα τὴν ἀρετὴν σπουδαίως.
Θάλλῃ; μαραίνῃ; ὡς χόρτος τοῦτο πάσχεις.
'Ανθεῖς; ἀπανθεῖς; ἄνθους καὶ τοῦτο φύσις.
Τέρπῃ; ἀγάλλῃ; ταυτοπαθεῖς τοῖς ζῴοις.
100 Μέμνῃ τῆς 'Εδέμ; ἀρχὴ ἀρίστου βίου.
'Εργάζῃ καλόν; τοῦτο σὸν ὄντως ἔργον.
Λοιπὸν ἕως ζῇς τὴν ἀρετὴν μετέρχου
καὶ δέξεταί σε τῆς Τρυφῆς τὸ χωρίον,
οὗ τὴν εἰκόνα σκιαγραφεῖ σοι, ξένε,
105 ὁ παράδεισος ὃν ὁρᾷς ἐν τῇ Νάξῳ.
῞Ωσπερ 'Ιωσὴφ τοῦδ' ἔκφρασιν διῆλθον.

## ΣΥΛΛΑΒΟΣ ΛΕΞΕΩΝ





## ΚΑ'

### 'Αλεξίῳ

B 176

Εἰ καὶ ξένος καὶ τεθροημένος παροικεῖς ἐν τῇ Κρήτῃ, ἀλλὰ τό γε νῦν ἔχον φέρε γενναίως καὶ τοὺς σοὺς ἐπιστήριζε.

'Επεὶ κρείττων ὑπομονὴ ῥαθυμίας καὶ ἔνστασις σταθηρὰ γνώμης εὐπεριτρέπτου καὶ δειλιώσης ψυχῆς. Καὶ τοῦτο δὲ εἰδέναι αἱροῦ καὶ ἐν σαυ-
5 τῷ περιστρέφειν ἀεί, ὅτι κἀνταῦθα φθόνος νεανιεύεται καὶ πανταχοῦ γῆς οὗτος περινοστεῖ. Εὐλογημένος δ' ὁ ἄνθρωπος οὐχ ὁ φθονῶν, ἀλλ' ὁ φθονούμενος διὰ τὰ καλά, ὁ διωκόμενος καὶ θλιβόμενος διὰ τὸν Χριστόν. ῎Εχει γὰρ
B 177 τὸ συνειδὸς συνήγορον | τὸ οἰκεῖον, καὶ παρήγορον ἀπεκδέχεται τὸν μέλλοντα κρῖναι πᾶσαν πνοήν.

10 Σὺ οὖν, ἀγαπητέ, ἐν μέσοις καθήμενος τοῖς ἐπὶ τέχνῃ καὶ παισὶ καὶ οἰκίᾳ ζηλοῦσί σε, καὶ περίβλεπτον εἶναι νομίζουσι, χαῖρε ἐπὶ τούτοις μέν, ὅτι ἄξιος γέγονας ζήλου· χαῖρε δὲ καὶ ἐπὶ σαυτῷ ὅτι ἠξιώθης ὑπὲρ τοῦ ὀνόματος τῆς ἀληθείας ἔτι περιὼν ἐν τῷ βίῳ ἀπροσδόκητόν τι καὶ ἰδεῖν καὶ ἀκοῦσαι. Τοῦτο δὲ λέγω, ὅτι καὶ ὕβρεις καὶ λοιδορίας ἐξ ἐχθρῶν ὁμολογουμέ-
15 νων, μῖσος καὶ ἀποστροφὴν πρὸς φίλων καὶ συνήθων, δέος καὶ δεινῶν προσδοκίαν μυρίων ἐκαρτέρησας, ἅτε τῆς ἀληθείας ὑπερμαχῶν. 'Αλλὰ στῆθι γενναίως, ὡς καὶ προεῖπόν σοι· ἰδοὺ γὰρ παρέρχεται τὰ δεινά.

---

**ΚΑ'** E cod. M edidit B (pp. 176 - 177)

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ

## ΚΒ'

B 177

### Ἀλεξίῳ

*Πολλοὺς τῶν ἐπ᾽ ἀρετῇ μέγα ἀραμένων τὸ κλέος πειρασμοῖς καὶ θλί-*
*ψεσι πολλάκις ἐπύρωσεν ὁ Θεός, πολλῶν μὲν καὶ ἄλλων ἕνεκεν, τὸ δὲ μεῖ-*
*ζον, ἵνα μὴ τὸ τῆς ἀρετῆς αὐτοὺς μέγεθος εἰς ὑπερηφανίαν ἐπάρῃ. Εἰ γὰρ*
*τῷ Μεγάλῳ Παύλῳ τούτου ἐδέησεν : «ἐδόθη μοι γάρ, φησί, σκόλοψ τῇ*
5 *σαρκί, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι», πολλῷ μᾶλλον ἑτέροις οἵ,*
*κἂν καὶ ἀνεύθυνον εἶχον τὸν βίον, ἀλλὰ πολλῷ ἂν τῆς ἐκείνου ἐδέησαν ἀρε-*
*τῆς καὶ τοῦ πνεύματος. Λέγει δὲ καὶ πρὸς Κορινθίους γράφων ὁ θεῖος οὗτος*
*ἀπόστολος : «εἰ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα, κρινόμενοι δὲ ὑπὸ*
*Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Ὅρα κἀνταῦθα*
10 *πῶς τοὺς μὴ παιδευομένους ἐν τῷδε τῷ βίῳ τῇ τῶν ἐθνικῶν παραπέμπει*
*μερίδι καὶ μετ᾽ ἐκείνων καταδικάζει. Τούτους γὰρ κόσμον ἐν πολλοῖς ὀνο-*
*μάζει, οἷς ὁ δίκαιος κριτής, τὸ νῦν ἔχον, οὐδαμῶς ἐπεξέρχεται, κἂν καὶ τὰ*
*σφόδρα ἀτοπώτατα δρῷεν, τῇ ἐκεῖσε χαλεπωτάτῃ δίκῃ αὐτοὺς ἀποταμιεύων.*
*Καὶ πρὸς Ἑβραίους δὲ οὗτος γράφων καὶ τῆς πρὸς τὰ δυσχερῆ μικροψυχίας*
B 178 *ἕνεκεν αὐτῶν | καθαπτόμενος, ἅμα δὲ καὶ πρὸς ἀνδρείαν αὐτοὺς καὶ μεγα-*
*λοψυχίαν διερεθίζων, «οὔπω, φησί, μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν*
*ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὡς υἱοῖς*
*ὑμῖν διαλέγεται : «Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου*
*ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα*
20 *υἱὸν ὃν παραδέχεται». Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ*
*Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ; εἰ δὲ χωρὶς ἐστὲ παιδείας,*
*ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστέ, καὶ οὐχὶ υἱοί».*
*Ὁρᾷς ὅποι ἀνήγαγεν ἡμᾶς καί τίσι συναρίθμους εἰργάσατο τὰ παρελ-*
*θόντα δεινά; Ὦ δόξα σοι πάντων ἕνεκεν τῷ οὕτως οἰκονομήσαντι. Ταύτῃ τοι,*
25 *φίλε, πνευματικῶς λοιπὸν συνευφραίνου μοι. Ἐρρωμένως βιῴης τῷ πνεύματι.*

4-5 Β' Κορ. ιβ' 7 8-9 Α' Κορ. ια' 31-32 16-22 'Εβρ. ιβ' 4-8.

**ΚΒ'** E cod. M edidit B (pp. 177 - 178) et T (pp. 128 - 129)



ΠΙΝΑΞ ΛΕΞΕΩΝ



## ΚΓ'

B 178

### Ἰωάννῃ

['Εκ Κωνσταντινουπόλεως εἰς Κρήτην]

*Ἀδελφέ μοι τὰ πάντα ἠγαπημένε, ἤξευρε ὅτι εἶμαι εἰς τὴν ὑγείαν μου*
*ὁλόκαλα. Ὁ πόνος τῆς κεφαλῆς ἀφῆκέ με. Ὁ ἀββᾶς μου ἔνι ὁλόκαλα. Ἀπε-*
*δέξαντό με οἱ ἐνταῦθα φίλοι. Βλέπω τὰ καλὰ ὅσα ἐπεθύμησα πολλάκις ἰδεῖν.*
*Ἵσταμαι ἐν χορῷ τῶν αἰνούντων τὸν Κύριον. Ἀκούω φωνῆς αἰνέσεως καὶ*
5 *ἐξομολογήσεως· ἡσυχάζω ἐκ τῶν θορύβων. Ἔχω θέλημα ζῆν ἀδεῶς, ὅπερ*
*οὐδενὶ τῶν ἐνταῦθα μοναχῶν δέδοται. Μένω εἰς τὴν Βασιλικὴν ἔγγιστά που.*
*Κατοικῶ εἰς τὴν σεβασμίαν μονὴν τῶν Στουδίου. Ἐπλούτησα ἐν τοῖς ἀγαθοῖς*
*τοῦ Κυρίου· ἀναγινώσκω εἰς τὸ μέσον, ψάλλω τῷ Θεῷ μου μετὰ ψαλλόντων,*
*εὔχομαι κατ᾽ ἐμαυτόν, γράφω δικαιοσύνην, λαλῶ ἀλήθειαν· εὗρον τὴν ὁδὸν*
10 *τῶν σῳζομένων, ὁμιλῶ μετὰ φιλοσόφων, οὐδεὶς τῶν βαρβάρων ἀνθρώπων εἰς*
*πρόσωπόν με ὁρᾷ οὐδὲ τῆς φωνῆς μου γυνὴ ἀκούει, καὶ τὸ αἴτιον, ὅτι ἰδοὺ*
*χίλια ἔτη παρῆλθον ἀφ᾽ οὗ ἀνὴρ ἄπρακτος οὐκ εἰσῆλθεν εἰς τὴν μονὴν τῶν*
B 179 *Στουδίου οὐδὲ θῆλυ γένος τὴν αὐλὴν ταύτην ἐπάτησε. Πρὸς τούτοις εἰς πάντα*
*τὰ σωματικὰ εὐεκτῶ : ἐντρυφῶ εἰς βρώματα· εὐθηνοῦμαι εἰς πράγματα·*
15 *περισσεύομαι εἰς ἐνδύματα· διάγω ἐν κέλλῃ παλατίῳ ὁμοίᾳ· κῆποι καὶ παρά-*
*δεισος, ἐλαιὼν καὶ ἀμπελὼν κύκλωθέν μου· ἥμεροι κυπάρισσοι καὶ εὐθαλεῖς*
*ἔμπροσθέν μου· ἔνθεν ἡ Πόλις καὶ ἡ ἀγορά, ἐκεῖθεν ἡ Μήτηρ τῶν Ἐκκλησιῶν*
*καὶ ἡ Βασιλεία τοῦ κόσμου. Τούτων πάντων καὶ τοιούτων ἀγαθῶν ἠξίωσέ με,*
*φίλτατε ἐμοὶ Ἰωάννη, ἡ ἐκ τῆς Κρήτης ἐξορία. Εἰ γὰρ μὴ ἐξωρίσθην, οὐκ*

**ΚΓ'** E cod. M edidit B (pp. 178 - 179) et T (pp. 124-125 = Σύλλαβος, p. 500)
**7 τῶν : τοῦ** B

*20 ἂν ταῦτα εἶχον ἐγώ. Διὰ τοῦτο συγχωρῆσαι ὁ Κύριος καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι πᾶσι τοῖς συνεργήσασιν ἵνα ἐξορισθῶ καὶ δῴη αὐτοῖς ἄφεσιν καὶ τῶν λοιπῶν τούτοις σφαλμάτων. Τοὺς μισοῦντας καὶ τοὺς φιλοῦντας ἡμᾶς ἐν Χριστῷ ἐξ ἡμῶν ἄσπασαι.*

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ

ἀββᾶς, ὁ 2
ἀγαθά, τὰ 7
ἀγορά, ἡ 17
ἀμπελών, ὁ 16
ἀναγινώσκω 8
ἄπρακτος (ἀνήρ) 12
βάρβαρος (ἄνθρωπος) 10
βασιλεία (κόσμου), ἡ 18
Βασιλικὴ 6
βρώματα, τὰ 14
γένος (θῆλυ), τὸ 13
γράφειν 9
γυνή, ἡ 11
ἐλαιών, ὁ 16
ἐνδύματα, τὰ 15
ἐντρυφᾶν 14
ἐξορία, ἡ 19
ἐξορίζεσθαι 19, 21
εὐεκτεῖν 14
εὐθηνεῖσθαι 14
ἡσυχάζειν 5
θέλημα, τὸ 5
θόρυβοι, οἱ 5
καλά, τὰ 3
κέλλα, ἡ 15
κῆποι, οἱ 15
Κρήτη, ἡ 19
κυπάρισσοι, αἱ 16
μέσον (εἰς τὸ -ον) 8
μοναχοί, οἱ 6
μονὴ (τῶν Στουδίου), ἡ 14
ὁλόκαλα 2
ὁμιλεῖν 10
παλάτιον, τὸ 15
παράδεισος, ὁ 15 - 16
πατεῖν 13
περισσεύεσθαι 15
Πόλις, ἡ 17
πόνος (κεφαλῆς), ὁ 2
πράγματα, τὰ 14
πρόσωπον (εἰς -ον), τὸ 11
σεβάσμιος (-α μονὴ) 7
Στουδίου (μονὴ τῶν), ἡ 13
σωματικά, τὰ 14
φιλόσοφοι, οἱ 10
φίλοι, οἱ 3
χορὸς (ἐν -ῷ ἵστασθαι), ὁ 4
ψάλλειν 8

## ΚΔ'

B 179

### *'Αλεξίῳ 'Αποκαύχῳ*

['Εκ Κωνσταντινουπόλεως εἰς Κρήτην]

*Χίλια καλῶς σὲ εὕρομεν πάλιν. 'Ιδοὺ ἤλθομεν ἰδεῖν σε καὶ μαθεῖν καὶ ἀκριβώσασθαι πῶς ἔχεις μετὰ Θεόν. Βλέπε, κρατεῖ με ἡ χείρ σου ἐκ τῆς χειρός· βλέπουσί με οἱ ὀφθαλμοί σου, ἀκούεις μου τῆς φωνῆς ἐναργῶς. Ὅτι γράμματα ἃ κρατεῖς μετὰ χεῖρας τῆς ἐμῆς χειρὸς ἔργον, οἱ λόγοι οὓς ἀναγι-*
*5 νώσκων ἀκούεις οὗτοι ὄντως ἐμοί. Ἴδες, ἔχεις, βλέπεις· ἐρώτα με τί θέλεις*

**ΚΔ'** E cod. M edidit B (pp. 179 - 180) et T (pp. 129-130=Σύλλαβος, pp. 500-501)



*μαθεῖν περὶ ἐμοῦ· ἐὰν ὑγιαίνω; Γίνωσκε ὅτι σωματικῶς μὲν καλῶς ἔχω, ψυχικῶς δὲ ἀσθενῶ· 'Εὰν εὐθυμῶ; Ἴσθι ὅτι πολλῶν ἐνταῦθά εὐφραινόντων με, ἕν ἐστι τὸ λυποῦν, ἡ στέρησις τῶν ἄλλοθι καὶ τῶν ἐνταῦθά μοι φίλων καὶ σοῦ. 'Εὰν εὐημερῶ καὶ εὐδαιμονῶ; Γνῶθι ὡς ἔχω καὶ περιττά. Ποῦ μένω,*
*10 βούλει ἀκοῦσαι; Ὅπου καὶ πρώην ἐν τοῖς Στουδίου. Καὶ ταῦτα δὴ τὰ ἐμά. Τὰ δὲ τῆς Πόλεως οἷα; Ἔστιν εἰρήνη μεγάλη ἐνταῦθα, εὐθηνία τε πραγμάτων ἄκρα καὶ πλουτισμὸς ἥκει πάντοθεν. Διάγει ὁ βασιλεὺς ἐν γαλήνῃ·*
*B 180 οὐδεὶς τῶν πέριξ σατραπῶν | ἢ τυράννων αὐτῷ ἐνοχλεῖ. Οἱ μὲν αὐτῷ φίλοι γεγόνασιν· οἱ δὲ ὑπόσπονδοι καθεστᾶσιν. Ὁ νῦν πατριαρχεύων ἐν εὐθυμίᾳ,*
*15 τὰ τῆς 'Εκκλησίας ἐν καταστάσει, τὰ τῆς Πολιτείας ἐν ἠρεμίᾳ, τὰ τῆς συγκλήτου βουλῆς ἀνενόχλητα, ἀστασίαστα τὰ τοῦ δήμου, τὰ τῶν γειτόνων εἰρηνικά, καὶ πάντα καλά. Εἰ δὲ καί τι τῶν μὴ προσηκόντων, τινὰς ταράττον, διενοχλῇ, τοῦτο τῆς ἐμῆς ἁμαρτίας ἔκγονον. 'Αλλὰ καὶ αὕτη ὁσονούπω, μεταγνόντος μου ἢ θανόντος, καταργηθήσεται. Καὶ τὸ πᾶν λοιπὸν ἠρεμήσει*
*20 καὶ εἰς τὸ βέλτιον ἀποκαταστήσεται. 'Αλλ' ὅπως μὲν ἔχει τὰ καθ' ἡμᾶς ἔμαθες ἤδη καὶ τὰ περὶ ἡμᾶς ἔγνως, ὦ βέλτιστε. Δήλου δὲ καὶ αὐτός μοι, φράσον, εἰπὲ καὶ διήγησαί μοι πῶς ἔχει τὰ κατὰ σέ; ἢ τὸν ὅμοιον τρόπον ἢ ὃν οἶδας αὐτός; Διάκεισαι καλῶς ἐν ὑγείᾳ; Πῶς ἔχει τὰ τῶν αὐτόθι μοι φίλων; Τὰ τῆς ἀρχῆς ὑμῶν ἄρα πῶς διεξάγεται; Οἱ τῶν ἀρχόντων ἔκκρι-*
*25 τοι ὁμονοοῦσιν ἀλλήλοις; Μᾶλλον δὲ ὑμεῖς, τὸ ὀρθόδοξον γένος, πῶς διάγετε μέσον τοσούτων ἰλίγγων; Ταῦτα καὶ ὅσα τοιαῦτα ἐξῇ σοι δηλῶσαί μοι, δήλωσον. Οὐδὲν γὰρ κωλύει τὰ γράμματα καὶ χεῖρα καὶ γλῶτταν καὶ ὄψιν καὶ πάντα καλῶς μοι ἀποπληρῶσαι τὰ σά, ὥσπερ ἄρα κἀμοὶ γέγονε τάδε πρὸς σέ. Εἰ δὲ καὶ αὐτὴν ὄψιν τὴν ἐμὴν ἰδεῖν φανερῶς καὶ φωνῆς ἀκοῦσαι*
*30 ἀμέσως ἐφίῃ καὶ λόγων γενέσθαι κοινωνὸς τῶν ἐμῶν, μικρὸν ὅσον ἔκδεξαι, καὶ ἀπολαύσεις τούτων πάντων ὁμοῦ ἐν τῇ μελλούσῃ μακαριότητι, τρανότερόν τε καὶ καθαρώτερον πάντων ἀνθρώπων καὶ πάσης κτίσεως.*

*Ὁ πάντα τὰ σὰ καὶ φιλῶν καὶ θαυμάζων 'Ιωσὴφ ὁ Βρυέννιος.*

## ΠΙΝΑΞ ΛΕΞΕΩΝ

ἀνενόχλητος 16
ἀποπληρῶσαι 28
ἀρχὴ 24
ἄρχοντες 24
βασιλεὺς 12
βουλὴ σύγκλητος 15 - 16
γένος (ὀρθόδοξον) 25
γράμματα 27
ἔκγονον (ἁμαρτίαι) 18
εὐδαιμονεῖν 9
εὐημερεῖν 9
εὐθηνία, ἡ 11
κατάστασις (ἐν -σει) 15
μακαριότης (μέλλουσα) 31
πατριαρχεύων 14
Πολιτεία 15
σατράπαι 13
τύραννοι 13
ὑπόσπονδοι 14
χίλια καλῶς σὲ εὕρομεν πάλιν 1

## ΚΕ΄

B 180

### Ἰωάννῃ

[Ἐκ Κωνσταντινουπόλεως εἰς Κρήτην]

Εἰ μὲν ἀκριβῶς ἐπιστάμην ὅτι μὴ καὶ ταῦτά μου τὰ γράμματα κατὰ θάλατταν ναυαγήσει καὶ ὅτι μὴ μετὰ τὸ ἀναγνῶναι αὐτίκα ταυτὶ τῇ γῇ
B 181 παραδώ|σεις ἢ τῷ πυρὶ ἤ, τό γε μετριώτερον, τῇ σκοτίᾳ, πολλὰ ἴσως καὶ κατὰ λόγον συντεθειμένα ἐπέστελλον ἄν σοι. Ὡς νῦν τοῦτ' ἐνθυμούμενος
5 πρὸς τὸ γράφειν σοι ῥαθυμότερος γίνομαι. Ἐννόησον γὰρ ἡλίκον ἐστίν, ἵνα καὶ χάρτης εἰκῇ καὶ μέλαν ἀγορασθῇ καὶ εἰς κενὸν καὶ στιλβωτὴρ καὶ ψαλὶς καὶ καλαμάριον προτεθῇ καὶ γραφὶς ἀμβλυνθῇ καὶ ῥαφὶς καὶ νῆμα καὶ κηρὸς καί, τὸ τούτων ὕστερον, ἡ σφραγὶς εἰς μάτην ἑτοιμασθῇ. Καὶ ταῦτα μὲν δὴ τὰ ἔξωθεν.

10 Τὰ δ' ἐξ ἡμῶν αὐτῶν ἡλίκα καὶ πόσα; Νοὸς εὑρέματα, τὸ χρειωδέστερον ἐν τούτοις καὶ κοπωδέστερον, αὐχένος κλίσις, ὀφθαλμῶν ἐπιβολαί, χειρὸς τέχνη, δακτύλων κίνησις, γονάτων κάμψις, στίχων ἔκθεσις, γραμμάτων τύπος, νοημάτων κάλλος, ἔστι δ' ὅτε καὶ μυστηρίων δήλωσις. Ὅταν δὲ καὶ γραμματηφόρος εἰς τὸ κομίσαι ταῦτα παρακληθῇ καὶ μακρὸς ἔπειτα
15 πλοῦς τελεσθῇ, καὶ ἤδη εὐοδωθέντα εἰς χεῖρας γένηται τοῦ πρὸς ὃν ἔσταλται ταῦτα, ὁ δ' ἅμα τῷ ἀναγνῶναι τῇ γωνίᾳ τε καὶ τῷ σκότει ὡς ἀπολούμενα παραδῷ, ἀναλόγισαι ὅση τοῦ πέμψαντος περιφρόνησις γίνεται καὶ αὐτῶν τῶν καλῶν.

Διάτοι τοῦτο οἱ παλαιοί, οὐ ταύτην ἔχοντες τὴν συνήθειαν, ἀλλὰ τὴν
20 αὐτῆς ἐναντίαν, ὁπηνίκα ἔπεμπον γράμματα ἢ ἐδέχοντο, οἱ μὲν πέμποντες, πρὸ τοῦ εἰς χεῖρας αὐτὰ δοῦναι τοῦ διακομιστοῦ, ἐτίθουν γράφοντες εἰς βιβλίον, ἔχον καὶ ἄλλα τῶν συγγραμμάτων αὐτῶν, οἱ δὲ δεχόμενοι, ἅμα τῷ δέξασθαι, τοῖς λόγου μετόχοις εὐθὺς ταῦτ' ἐπεδείκνυον· καὶ αὐτοὶ ἀποστηθίζοντες πρῶτοι τοῖς ἰδίοις δελτίοις ἐνέγραφον καὶ οἱ ἐξ ἐκείνων λαμβάνον-
25 τες πάλιν εἰς τὰ ἑαυτῶν καὶ αὐτοὶ ἐνετίθουν βιβλία, καὶ ἀποστηθίζοντες ἐπὶ

---

**ΚΕ΄** E cod. M edidit B (pp. 180 - 182) et T (pp. 125-126)
4 ἀπέστελλον B



ἐπιδείξει οἴκοι τε καὶ εἰς τὰς ἀγορὰς καὶ εἰς ὁδοὺς καὶ τὰς συνελεύσεις καὶ ἐν πάσαις ταῖς ὁμιλίαις ἀντὶ πάσης ἀργολογίας τὰ χρήσιμα ταῦτα διήρχοντο ἀπὸ στόματος. Ὅθεν ἐθαυμάζετο μὲν ὁ δεξάμενος, ἅτε τοιούτου φίλος ἀνδρός, ἐκροτεῖτο μετὰ ἐπαίνων ὁ γράψας ὡς ῥήτωρ, ἐγνωρίζετο δὲ καὶ ἡ τῆς ῥητο-
30 ρικῆς δύναμις καὶ ἐζηλοῦτο πολλαχόθεν ἡ παίδευσις. Ἐξ οὗ καί τι τοιοῦτον
B 182 ἐπηκολούθει· | ὅταν γὰρ καὶ αὖθις ἐβουλήθη ὁ γράφων πρὸς τὸν αὐτὸν ἤ καί τινα ἄλλον ἐπιστεῖλαι τῶν φίλων, μεμνημένος ὅτι ἐκεῖνα τὰ γράμματα ὁ δεξόμενος φίλος καὶ ἀποστηθίσει καὶ μεταγράψει καὶ πολλοῖς διηγήσεται καὶ ἐντὸς ἐνιαυσίου κύκλου εἰς δέκα ἢ καὶ ἑκατὸν δέλτους ἔσται ἐγγεγραμ-
35 μένα καὶ εἰς τὸν αἰῶνα μενεῖ πρὸς ἀνδρῶν φιλολόγων πολλάκις μεταγραφόμενα, μετὰ πόσης οἴει ⟨τῆς⟩ ἡδονῆς καὶ τῆς σπουδῆς καὶ τῆς τέχνης αὐτὰ ἔγραφεν! Οὕτω Λιβάνιος ἔγραψε τὰς ἐπιστολάς, οὕτω Συνέσιος ὁ φιλόσοφος, οὕτως ὁ Πηλουσιώτης Ἰσίδωρος, οὕτω πάντες, ὧν εἰσέτι ἐν κόσμῳ αἱ ἐπιστολαὶ διαμένουσιν. Οὕτως ἄρα περὶ τὸν λόγον ἐσπούδαζον, οὕτως ἦσαν φιλομαθεῖς,
40 φιλόκαλοι καὶ φιλάλληλοι.

Εἰ οὖν καὶ αὐτὸς ἐμὰ βούλει γράμματα δέχεσθαι, μετάγραφε ταῦτα πρῶτον ἅμα τῷ δέξασθαι, ἀποστήθιζε φιλοτίμως, λέγε τοῖς φίλοις, διεξέρχου τοῖς πᾶσιν, ὅτε καιρός, τὰς ἀκαίρους ὁμιλίας καὶ ματαίας ἐγκόπτων. Καὶ δέξῃ, σὺν Θεῷ δὲ εἰρήσθω, μάλα συχνά, εἴθε δὲ ἦν εἰπεῖν καὶ ἐπιστήμης
45 ἐχόμενα.

## ΠΙΝΑΚΕΣ

### Ι. ΛΕΞΕΩΝ

II. ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ



## ΚϚʹ

### *Ἀνωνύμῳ*

[Ἐκ Κρήτης εἰς Κωνσταντινούπολιν]

*Ἔμαθον παρὰ τοῦ Σταμάτη (οἶδας ὃν λέγω) ὅτι ἐβούλου ὅλῃ ψυχῇ ἐλθεῖν καὶ ἰδεῖν με. Εὐχαρίστησα γοῦν τὸν ὑπεράγαθον Κύριον ἕνεκα τούτου, δι' ὃν ἀγαπᾷς με τοσοῦτον, εὐχαριστῶ δὲ καὶ τῇ ἀντιλήψει σου· πλὴν καὶ ἀξιῶσαι σε λοιπόν, εἴπερ ἔστι σοι εὔκολον, χωρὶς ζημίας λέγω καὶ φόβου καὶ ἐξόδου τινὸς δι' ἐμὲ γινομένης. Ἐλθέ, κοπίασον καὶ ἔτι καὶ ὄψει με, καὶ ἴσως εὐφρανθήσῃ καὶ πολλὰ δι' ἐμοῦ μετ' ἐμέ. Καὶ τοῦτο δέ σου λέγω, προμήνυμα τῆς χαρᾶς ἐκείνης, ἧς μέλλεις ἀπολαβεῖν σύ. Καὶ ἄλλως, ἐὰν ἔλθῃς καὶ ἴδῃς με, ὅτι τὸ ἐπιθυμεῖς αὐτὸς καὶ πάντες οἱ ἀγαπῶντές με διὰ Θεόν, τὸ ἀνέλπιστον καὶ ἀπεγνωσμένον θέλεις ἰδεῖν, λέγω δὴ τὸ ἂν ἔλθῃς εἰς τὴν Κρήτην μετὰ τοῦ θελήματος τοῦ ἁγίου Πνεύματος καὶ τῆς βουλῆς τῶν Βενετίκων, παρρησίᾳ καὶ φανερῶς εἰς τὸ μένειν αὐτοῦ μεθ' ἡμῶν μέχρι τελευταίας ἀναπνοῆς. Θαυμάζεις τὸ πῶς καὶ ἀπιστεῖς τοῦτο. Οἶδα κἀγώ, ἀλλὰ τοῦτο, τὸ δοκοῦν σοι ἀμήχανον, εὔκολον ἔσται θέλοντος τοῦ Χριστοῦ καὶ συν|εργούσης μοι τῆς σῆς ἀντιλήψεως. Πόθεν γίνεται τοῦτο; καὶ εἰ ἀληθῶς περὶ τούτου πληροφορήσεις με οὐκ ἔστι δυνατὸν γραφῆναι τοῦτο τὸ πῶς. Ἀκοῇ δὲ πιστευθῆναι δύναται μόνον καὶ τῇ καρδίᾳ ὡς μυστήριον μέγα διατυπωθῆναι. Ὅμως μετὰ τοσαῦτά σοι γράφειν με ἐκεῖνο παρακαλῶ. Μὴ νομίσῃς με ψεύδεσθαι, ἀλλὰ λόγισαι ὅτι ἐν Χριστῷ ἀληθεύω· ὁπόταν ἀκούσῃς, συνομολογήσεις μοι, τοῦτο γίνωσκε ἐν ἀληθείᾳ καὶ βεβαιώσει.*

*Ἀλλὰ τοῦτο μὲν ὁ παντοδύναμος Κύριος, ἡ πανταιτία Τριάς, εὐθύναι καὶ ἐκπληρῶσαι, εἰ μή τι προβλέπει παρεμποδοῦν εἰς ψυχήν· αὐτὸς δ' ὑγιαίνοις μοι ὁ πάντα καλός.*

---

**ΚϚʹ** Cod. olim Eustathii Vulismae metr. Corcyrensis, exaratus anno 1756, ff. 460 - 462 (ep. ΚϚʹ - ΚΗʹ, Αʹ) ex quo edidit Ath. Papadopulus Kerameus (Varia Graeca Sacra, pp. 292 - 293= T, pp. 130 - 131).
6 *προμηνύματα* C



ΠΙΝΑΞ ΛΕΞΕΩΝ



## ΚΖʹ

### *Εἰς τὰς χεῖρας τοῦ κὺρ Γιαννούλη Δὲ Σπίγα.*

[Ἐκ Κωνσταντινουπόλεως εἰς Κρήτην]

*Τίμιε φίλε καὶ ἀδελφέ, εὔχομαί σοι ἐν Χριστῷ πᾶν ἀγαθὸν καὶ σωτήριον. Γινώσκω ὅτι, ὅταν ⟨με⟩ ἐνθυμηθῇς, λυπεῖσαι καὶ ἀδημονεῖς περὶ ἐμοῦ πῶς οὐ βλέπεις με. Παρακαλῶ σε γοῦν, ἵνα μᾶλλον ἔχῃς καλὴν καρδίαν δι' ἐμέ, ὅτι ἐλύτρωσέ με Κύριος ὁ Θεός μου ⟨ἀπὸ⟩ πολλὰ κακὰ καὶ ἔφερέ με εἰς πολλὰ ἀγαθά, ἀπὸ πολλοῦ κόπου εἰς πολλὴν ἀνάπαυσιν, ἀπὸ πολλὰς ὕβρεις εἰς πολλὰς τιμάς, ἀπὸ μικρὰ καὶ εὐτελῆ εἰς μεγάλα καὶ ἔνδοξα. Καὶ σκόπει· ἀντὶ ἐρήμου βλέπω τὴν Πόλιν, ἀντὶ πετρῶν καὶ χαρακίων πατῶ πορφύραις καὶ τάπησι, ἀντὶ προβάτων καὶ αἰγῶν βλέπω καμήλους καὶ βουβαλίδας· ἀντὶ τοῦ Λασηθίου τὸν Ὄλυμπον, ἀντὶ τῆς Κολοκύνθας ἐκεῖ πέρα καὶ τῆς Λύττου, τὴν Ἀνατολὴν ὁμοῦ καὶ τὴν Δύσιν· ἀντὶ τοῦ λόγγου ἔχω τὸ παλάτιν, ἀντὶ τοῦ Χριστοῦ ἐκεῖ ἀπάνω τὴν Ἁγίαν Σοφίαν, ἀντὶ τὸ Σμάριν ὁρῶ τὸ Ἱπποδρόμιον καὶ ἀντὶ τῆς Ἄτρας τὴν Περίβλεπτον καὶ ἀντὶ τὲς Βουδολὲς κατοικῶ 'ς τὰ Στουδίων· ἀντὶ τὰς δρυάδας βλέπω κυπαρίσσους, καὶ ἀντὶ ἀχράδας ἔχω ἀπιδέας, καὶ ἀντὶ τῶν ξένων ἔχω τὰ δικά μου· ἀντὶ τῆς ἀγάπης σου ἔχομεν τὸν ἡγούμενον καὶ ἀντὶ τῶν φίλων τοὺς ἄρχοντας· ἀντὶ τῆς ὁμι-*

---

12 *Βουκολιές;* (= στάβλοι ζῴων· νῦν ὄνομα χωρίου ἐπ. Κισάμου).

---

**ΚΖʹ** Edidit C, pp. 293 - 294, et T (pp. 131 - 132 = Σύλλαβος pp. 502 - 503)
9-10 *τὴν Λύττον* C 14 *ἀπιδέας: βεβέας* C

*λίας τῶν Κρητικῶν ἔχομεν τοὺς Πολίτας καὶ ἀντὶ πολλῶν χωρίων τὰ μοναστήρια, ἀ ν τ ὶ φ ό β ο υ τ ὴ ν ἀ φ ο β ί α ν, ἀ ν τ ὶ β α ρ β ά ρ ω ν λ ο γ ί ο υ ς. Νὰ εἰπῶ τὸ μεγαλώτερον· ἀντὶ θανάτου εὑρήκαμεν ζωήν, καὶ ἀντὶ φουρτούνας ἐπετύχαμεν γαλήνην, καὶ ἀντὶ δουλείας με|γίστην ἐλευθερίαν.*
20 *῎Ελειψέ με ἡ Καλὴ τοῦ 'Ιάπτη, ἢ ἡ Θεοδώρα τοῦ Καρανίκου καὶ ἡ Χρυσῆ τοῦ Βελονᾶ, ὁ Γιάννης τῆς Εἰρήνης ἀπὸ τὸ Διδυμότειχον, καὶ ὁ Σταμάτης τῆς Κεραζωῆς ἀπὸ τὸ Πρίλαμπον καὶ κυρ-῾Ρηναῖος τῆς Τετίας ἀπὸ τὰ Βελάγραδα. ῟Ωχετο ὅτι ἐ λ υ τ ρ ώ θ η κ α, τ ὸ σ ῦ ρ ε καὶ τὸ ξ έ σ χ ι σ ε, τὸ ἔ λ α 'δ ῶ καὶ ὕ π α' 'κ ε ῖ καὶ τὰ ν ά μ ε, ἀ φ έ ν τ η. Τί γελᾷς; φαί-*
25 *νεταί σου παράξενα τὰ λόγια μου; Κι' ἐγὼ ὡς διὰ νὰ γελᾷς σὲ τὰ γράφω καὶ φαίνεταί μου καὶ καλόν, διότι σὲ ποιῶ ἀπὸ 'δῶ ἕως αὐτοῦ καὶ γελᾷς.*

*Διὰ ταῦτα πάντα καὶ δι' ἄλλα πλείω πρέπει νὰ μηδὲν λυπῆσαι ποτὲ δι' ἐμέ ἀλλὰ μᾶλλον νὰ δοξάζῃς τὸν Θεὸν ὑπὲρ ἐμοῦ. ῞Ομως διὰ νὰ εἰπῶ σύντομα τὴν διαφορὰν ἀπὸ τὰ ἤμουν εἰς τὸ εἶμαι, ἤξευρε ὅση ἔναι τοῦ νά 'ναι κανεὶς μετὰ*
30 *ἁγίων εἰς τὸ νά 'ναι ἁπλῶς μετὰ ἀνθρώπων. Τόση γὰρ ἔνι ἡ διαφορὰ ἀπὸ τὸ ἤμουν αὐτοῦ παρὰ τώρα. Δόξαζε γοῦν ὑπὲρ ἐμοῦ τὸν Θεόν. Εἰ δὲ ὅμως λυπεῖσαι τάχα, διότι δὲν μᾶς βλέπεις, ὀλίγες ἡμέρες εἶναι καὶ θέλομεν εἶσθαιν εἰς τὸν ἄλλον ἐκεῖνον κόσμον, ὅπου λάμπει ἀντὶ ἡλίου τὸ πρόσωπον τοῦ 'Ιησοῦ Χριστοῦ τὸ γλυκύτατον καὶ φαίνονται ἑνὸς ἑκάστου οἱ λόγοι καὶ τὰ νοή-*
35 *ματα γυμνά. 'Εκεῖ γοῦν με θέλετε ἰδεῖν καὶ θέλετέ με βλέπειν πρὸς πρόσωπον πάντοτε. Σωθείητε.*

---

16 *πολλῶν* : *πτωχῶν;*

21 'Απὸ τὸ Διδυμότειχον, ἀπὸ τὸν Περλεπὲν καὶ ἀπὸ τὰ Βελάγραδα (Βεράτι) εἶχον πωληθῆ τὰ ἀναφερόμενα πρόσωπα ὡς σκλάβοι ἐν Κρήτῃ.

---

21 *Δυμότειχον* C 22 *Κεραζῆς* C *κυρ-῾Ρηναῖος*: *Κυρητέος* C 23 *ᾤχετο*: *ἤχει τὰ* C

## Π Ι Ν Α Κ Ε Σ

### Ι. ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ







### ΙΙ. ΓΡΑΜΜΑΤΙΚΟΣ



## *ΚΗ'*

### ***Τῷ ἐντιμοτάτῳ ἐν ἱερεῦσι κὺρ Νικολάῳ τῷ Κατζαδούρῃ τῷ ψάλλοντι τὴν ῾Αγίαν ῎Ανναν ἐν τῷ Χάνδακι. Εἰς Κρήτην.***

*῎Εντιμε, αἰδέσιμε καὶ εὐλαβὲς ἐν ἱερεῦσιν, εὔχομαι Χριστῷ τῷ Θεῷ, ἵνα ὑγιαίνῃς καὶ ἔχῃς ἐν πᾶσι καλῶς.*

*'Εγὼ πάντοτε ἐνθυμοῦμαι τῆς ἁγιωσύνης σου ἐπὶ καλῷ· μέμνημαί σου τῆς νεότητος, τῆς ἀναστροφῆς ἐκείνης τῆς παιδικῆς, τῶν ἡδίστων σου ἀστειευ-*
5 *μάτων τῶν φιλικῶν, τῆς περὶ τὰ καλὰ σπουδῆς, τῆς ἀποχῆς τῶν κακῶν ἐθῶν, οἷς χρῶνται οἱ πλεῖστοι τῶν Κρητῶν κακοήθων ἱερέων, τῆς περὶ τὴν ἀνάγνωσιν ἐπιμόνου καθέδρας, τῆς εἰς τὴν ἐκκλησιαστικὴν καθόλου ἀκολουθίαν ἐγρηγορεύσεως καὶ τῆς πρὸς ἡμᾶς διαθέσεως· καὶ ἁπλῶς, ἵνα μὴ λέγω καθ' ἕκαστον, πάντων σου τῶν καλῶν μνημονεύω καὶ συναρίθμιον τίθημι τῶν ἐμῶν*

---

***ΚΗ'*** Edidit C, pp. 294 - 295 (= T, p. 132)
1 *εὐλαβῆ* cod. C

10 *φίλων καὶ δέομαι τοῦ Κυρίου, ἵνα προκόπτῃς τὸ καθ' ἡμέραν. Ἔχεις γὰρ*
*καὶ συνεργὸν ἐν τούτοις τὸν ἄριστον ἐν πνευματικῇ καὶ σαρκικῇ συγγενείᾳ*
*σοι φίλον, τὸν καλὸν τὰ πάντα Μιχαὴλ ἱερέα, ὃν ὁ χρόνος φθάσας πρὸ σοῦ*
*εἰς πάντα ταῦτα ἐδικαίωσε.*

*Λοιπὸν σπούδαζε καὶ ἐπιμελοῦ πάντοτε σεαυτοῦ, τῆς ἐκκλησιαστικῆς*
15 *καὶ τῆς προκοπῆς σου τῆς ἐν παιδεύσει καὶ τῆς ψυχικῆς, γινώσκων ὅτι ὁ*
*σπουδάζων ἀεὶ ἀναβαίνει, ὁ δὲ ἀμελῶν πίπτει.*

*Ἀλλὰ ταῦτα μὲν Θεὸς συμπαράσχοιτο. Σὺ δὲ παριστάμενος Θεῷ ἐν*
*ταῖς ἱεραῖς τελεταῖς μέμνησο καὶ τῆς ἐμῆς, φίλε, ψυχῆς.*

## ΠΙΝΑΚΕΣ

### Ι. ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ



### ΙΙ. ΓΡΑΜΑΤΙΚΟΣ - ΛΕΞΕΩΝ



## ***ΚΘ'***

Cod.K p. 338β **Τῷ ἐν ἄρχουσιν εὐγενεῖ καὶ πρακτικῷ καὶ φρονίμῳ, πρὸς τούτοις ἐναρέτῳ τε καὶ ἐντρεχεῖ καὶ λογίῳ Ἰωάννῃ τῷ Συριανῷ. Ἐν τῇ Κρήτῃ.**

*Ἀδελφέ, υἱὲ καὶ φίλε, ὑγιαίνοις, εὐθυμοίης, σωθείης.*

*Ζῶ καὶ αὐτὸς ἰδοὺ τῷ τοῦ Θεοῦ ἐλέει· ὑγιαίνω τῷ σώματι εὐθυμῶ τῇ*

---

***ΚΘ'*** Tit.: in marg. *καὶ πρᾶξις τῆς ἐν Κύπρῳ γενομένης συνόδου ἀπαγγελτικὴ* V
Edidit T, pp. 133 - 137, e K

30 - 5 - 1987



*καρδίᾳ καὶ σωτηρίας ἐλπίζω τυχεῖν. Ὡς ἂν δὲ μὴ πάντα ἀγνοῇς τὰ ἐμά,*
*ἴσθι ὅτι διὰ πολλὰς μὲν καὶ ἄλλας αἰτίας παρῃτούμην πρὸ τοῦ ἀπελθεῖν ἐν*
5 *τῇ Κύπρῳ, καὶ διὰ ταύτας δὲ μάλιστα. Πρώτην, ὥστε μὴ ἐξόδους περιττὰς*
*ὑποστῆναι τῇ ἐξελεύσει, τῇ μακρᾷ ἀποδημίᾳ καὶ αὐτῇ ἑπομένως τῇ ἐπανόδῳ*
*μου· δευτέραν, ὥστε μὴ ἀποτειχίσαι ἐμαυτῷ διὰ τοῦ τοῦ τοποτηρητοῦ ὀνό-|*
p.339α *ματος τούτου καὶ ταύτης τῆς πράξεως τὴν εἰς τὰς νήσους ἐπάνοδον, εἴποτε*
*ταύτης δεήσειε· τρίτην, ὥστε μὴ τοὺς ἀκούσοντας τοῦτο Λατίνους ὡς ἐπὶ*
10 *τούτῳ σκοπῷ τὴν μακρὰν ἐκείνην πορείαν ἐποιησάμην, συμβαλόντας καὶ τὰ*
*ἐν τῇ Κρήτῃ πραχθέντα μοι, ἐχθροὺς ἀσπόνδους ἐμαυτοῦ καταστῆσαι, γινο-*
*μένους ὑπόπτους περὶ ἐμοῦ καὶ εἰς τὸ μετέπειτα. τετάρτην, ὥστε μὴ ἐμπεσὼν*
*εἰς χεῖρας τῶν φραγκεπισκόπων, τοῖς ἐχθροῖς ἐπίχαρμα γένωμαι· πέμπτην,*
*ὥστε μὴ τὴν ὀρθὴν πίστιν καὶ τὸν τῆς ἀληθείας λόγον κρατύνων ἀνεπαισχύν-*
15 *τως πατριάρχῃ, βασιλεῖ, ἴσως καὶ τοῖς ἐν τέλει φροντιστικὸς δόξω ἢ καὶ*
p.339β *γενήσομαι· ἕκτην, ὥστε μὴ διὰ τὸ ἀσυγκατάβατον εἰς | ἐξουδένωσιν καὶ ἀρὰν*
*πᾶσι τοῖς ἐν Κύπρῳ γενέσθαι με, τοῖς νῦν ὁμοῦ καὶ τοῖς εἰς τὰς μετὰ ταῦτα*
*αὐτῶν γενεάς. Διὰ ταύτας οὖν τὰς εὐλόγους αἰτίας καὶ διὰ πλείους ἑτέρας,*
*οὐκ ἤθελον ὑπακοῦσαι προθύμως. Πλήν, ἵνα μὴ γένωμαι δυσπειθὴς καὶ παρή-*
20 *κοος, καὶ ταῦτα εἰς πατριάρχην καὶ βασιλέα, τὴν ἐμὴν ἀρνησάμενος γνώμην*
*πᾶσαν καὶ θέλησιν, ἐμαυτὸν ἐπιρρίψας εἰς τὸ τοῦ Θεοῦ μόνον ἔλεος, κλίνας*
*τὴν ψυχὴν καὶ μὴ θέλουσαν σὺν τῇ κεφαλῇ, ὑπήκουσα ἐν Χριστῷ, κρίνας παρ'*
*ἐμοί, ὡς ὁ παρακούων τῆς Ἐκκλησίας ἐπιταττούσης ἐπὶ καλῷ, τρυγᾷ θάνα-*
*τον, καὶ ὁ φεύγων πειρασμὸν ἐπωφελῆ φεύγει ζωὴν αἰώνιον, καί, εἰ μὴ δῴη*
25 *τις αἷμα, οὐκ ἂν λάβοι πνεῦμα.*

p.340α *Ἀπῆλθον οὖν οὐκ ἐπὶ τὸ | ἐπανελθεῖν, ἀλλ' ἐπὶ τὸ θανεῖν, καὶ ὑπὲρ*
*πάντων τῶν τῷ ὀνόματι κοινωνούντων ἡμῖν ἐκεῖ ἀπολογησόμενος. Ἐπεὶ*
*δὲ καὶ τὰ τῶν Κυπρίων φρονήματα καὶ τὰς δόξας καὶ τὰς γνώμας καὶ τῇ*
*πράξει ταύτῃ ἐπισυμβαίνοντα δυσχερῆ, ὥσπερ ὕστερον εἶδον, οὕτω καὶ πρώην*
30 *ἐγίνωσκον, ἔλεγον ἀπολογούμενος τῷ τε σοφῷ βασιλεῖ καὶ τῇ ἁγίᾳ Συνόδῳ·*
*ἴστε ὡς εἰς τὸ παθεῖν καὶ εἰπεῖν τὸ ῥητὸν τῆς Σωσάννης τὸ «στενά μοι πάν-*
*τοθεν» ἀποστέλλετε· καὶ τοῦτο δῆλον ἐκ τῶν ἑπομένων ἡμῶν τῷ σκοπῷ.*
p.340β *Ἢ γὰρ φανερῶς τοῖς Κυπρίοις ἡμᾶς ἐν τῇ | νήσῳ συλλειτουργῆσαι ἢ κρυ-*
*πτῶς χρή, ἅπερ ἄμφω γενέσθαι σφαλερὰ ἢ ἀδύνατα. Ὅμως, καθ' ὑπόθεσιν,*
35 *ἔστω τὸ πρῶτον δυνατόν, ὑπεικόντων ἐκείνων εἰς πάντα ὅσα θελήσομεν,*
*παρίτω δὲ καὶ ἡ ὥρα τῆς παρρησίᾳ γενησομένης λειτουργίας ἐκείνης. Γενή-*
*σεται οὖν, ὡς ἔγωγε οἶμαι, ἢ ἐν τῇ λειτουργίᾳ εὐθὺς ἢ μετὰ τὸ λειτουργῆσαι*
*ἡμᾶς, ὄχλησις προφανὴς καὶ στάσις ἀκολουθήσει πρός τε τῶν αἱρετιζόντων*

---

13 Σοφ. Σειρ. ς' 4    31-32 Δαν. α' 23

---

6 *ἑπομένας* K    7 *τοῦ*[2] addidi    9 *τρίτην* (*λείπει* P) in marg. PV    *τετάρτην* KPV
12 *πέμπτην* codd. *τετάρτην* scripsi    *ἐκπεσὼν* K    13 *ἕκτην* codd.    *πέμπτην* scripsi
15 *φροντικὸς* codd.    16 *ἑβδόμην* codd. *ἕκτην* scripsi    20 *γνώμην: γνῶσιν* codd.

αὐτῶν καὶ τῶν τῆς χώρας ἀρχόντων. Τί τὸ ταύτῃ ἑπόμενον; ἡμᾶς μὲν παθεῖν
40 κακῶς, ἐκείνους δὲ τοὺς ἡμῖν συλλειτουργῆσαι τολμήσαντας καὶ μὴ θέλοντας
βίᾳ πάλιν ἀρνήσασθαι ἃ φυλάττειν πρὸς ἡμᾶς ὡμολόγησαν. Καὶ εἰς τὸν λαὸν
δὲ ὅσον ἐκ τῶν πραχθησομένων ἀπράκτως ἐκεῖ παρ' ἡμῶν διωγμὸς ἐπακο-|
p.341α λουθήσει καὶ σύγχυσις. Διαλαληθήσεται δὲ καὶ εἰς τὸ ἑξῆς μηκέτι τῆς Πόλεως
προσδέχεσθαι κληρικοὺς ἐν πάσῃ τῇ Κύπρῳ, ὡς δῆθεν ὄντας ἐπιβούλους καὶ
45 κακοτρόπους αὐτούς.

Καὶ ταῦτα μὲν γενήσεται εἰ συλλειτουργήσομεν αὐτοῖς φανερῶς· εἰ δὲ
κεκρυμμένως, ὅπερ ἀσύμφορον, δεῖ καὶ ταύτην ὁπωσδήποτε γνωσθῆναι τὴν
πρᾶξιν, καὶ ὅμοια πάλιν τοῖς εἰρημένοις ἢ καὶ χείρω συμβήσεται· πολλοὶ δὲ
αὐτῶν καὶ εἰς ἀπιστίαν ὑποπτευθέντες ἐκ τούτου, ἐτασμοῖς καὶ φρουραῖς
50 καὶ θανάτοις ὑποβληθήσονται. Καὶ ἡμεῖς δὲ ἅτε περὶ τὴν πίστιν καὶ τὴν ζωὴν
αὐτῶν φωραθέντες ἐπίβουλοι τεθνηξόμεθα. Εἰ δὲ καὶ λάθωμεν πάντας, ὅπερ
ἀμήχανον, οὐδὲν ἔσται τὸ κατορθούμενον καὶ τελούμενον, εἰ μὴ ἀπάτη πρό-
p.341β τερον ἡμετέρα | καὶ ὕστερον ἐκείνων πρὸς ἡμᾶς ἐπικαύχησις καὶ τοῦ κοινοῦ
γένους ὄνειδος, ὡς εἰκῇ καὶ μάτην κοινωνησάντων αὐτοῖς. Εἰ δὲ διὰ τὰ προ-
55 φανῆ αὐτῶν πάθη συλλειτουργῆσαι αὐτοῖς μὴ καταδεξόμεθα, οὐκ ἄρα παρ' αὐ-
τῶν τοῖς Φραγκέσκοις ἢ τοῖς Γενουέσοις ὡς δῆθεν κατάσκοποι ἤ, κἂν γοῦν
τὸ ῥᾷστον καὶ πρόχειρον, τοῖς φραγκεπισκόποις ὡς τῆς αὐτῶν πίστεως πο-
λέμιοι προφανεῖς, εἰς θάνατον παραδοθησόμεθα;

Ταῦτα μὲν αὐτὸς καὶ τοιαῦτα ἀπολογούμενος ἔλεγον τῇ Συνόδῳ, ζητῶν
60 πρόφασιν εὔλογον ὥστε μὴ ἀπελθεῖν. Ἀλλ' αἱ πλείους νικήσασαι ψῆφοι καὶ
ἄκοντά με ἀπέστειλαν. Ἀπελθὼν τοίνυν ὀψὲ καὶ μόλις ἐκεῖ ⟨γενόμενος⟩ εὗρον
ἅπαντας, κοσμικούς, μοναχούς, ἱερεῖς καὶ ἐπισκόπους παρεσκευασμένους
p.342α εἰς τὸ συλλειτουργῆσαι ἡμῖν καὶ | πρὸς μηδενὸς εἰς τοῦτο κωλυομένους.
Ἐνταῦθα γοῦν αὐτὸς ἐνέπεσον εἰς μέγαν ἀγῶνα, λογιζόμενος, ὡς ἐπεὶ συνε-
65 κατέβησαν οἱ Κύπριοι τοῖς Λατίνοις, δοκοῦσι δὲ μὴ συγκαταβῆναι, τί μέλλει
γενέσθαι. Εἰ μὲν συλλειτουργήσω αὐτοῖς ὧδε σήμερον, πρὸ μηνῶν τριῶν
παρόδου, ἀκούεται τὸ πραχθὲν εἰς τὴν κούρτην, ἀποδέχονται τοῦτο οἱ ἐκεῖσε
ἀσμένως, ἐντὸς μηνῶν ἓξ πέμπουσι λεγάτους εἰς τὸν οἰκουμενικὸν καὶ τὰς
τῆς Ἀνατολῆς λοιπὰς Ἐκκλησίας, λέγοντας πολλὰ μὲν καὶ ἄλλα, εὔλογά
70 τε καὶ ἰσχυρά, πρὸ δέ γε τῶν ἄλλων καὶ τοῦτο· «ὁ ἁγιώτατος πατὴρ καὶ πάν-
τες οἱ ὑπ' αὐτὸν τῆς πρεσβυτέρας Ῥώμης καθολικοί, ἀνεῳγμέναις ἀγκάλαις
καὶ χερσὶν ἡπλωμέναις ἀπεδέξαντο τὴν ἐπιστροφὴν ὑμῶν καὶ προσδέχονται |
p.342β ὑμᾶς δι' ἡμῶν καὶ τουτωνὶ τῶν γραμμάτων, ὡς γνησίους ἀδελφούς, χαίροντες
μέγα καὶ ἀδιάπαυστον, ὅτι καὶ ἐν τῷ οὐρανῷ μεγίστη γέγονε καὶ γίνεται
75 χαρὰ ἐπὶ τῇ ἐπιγνώσει τοῦ καλοῦ καὶ τῇ ἑνώσει ἡμῶν· ἐπεὶ νενεκρωμένοι

40 θελήσοντας P   44 δέχεσθαι P   54 αὐτοῖς τοῖς V   56 ὡς: οὐ K   61 γενόμενος addidi   62 παρασκευασμένους codd.   64 μέγα K   67 πάροδον codd.



ἦτε καὶ ἀνεζήσατε, ἀπολωλότες καὶ εὑρέθητε σήμερον, τῷ τε Θεῷ καὶ τῷ
ἁγιωτάτῳ ἡμῶν πατρί, τῷ πάπᾳ, δηλαδή».

Πρὸς ταῦτα τί καὶ ἀπολογήσονται οἱ ἡμέτεροι; ἴσως ἐροῦσιν «ἀρνού-
μεθα τοῦτο»· ἀλλὰ τὰ γράμματα τὰ ὑπογεγραμμένα καὶ βεβουλλωμένα συνο-
80 δικῶς ὑπὸ πατριάρχου καὶ βασιλέως καὶ τῆς συγκλήτου βιάσονται αὐτούς,
καὶ ἄκοντες σιωπήσονται. Καὶ ἔσται ἀνάγκη ἢ πάντας καθαιρεθῆναι τοὺς
ταῦθ' ὑπογράψαντας ἢ πάντας δικαίως ἀφορισθῆναι ἢ πάντας λατινίσαι,
p.343α ἢ μυρία σχίσματα μερισθῆναι | τὸ ἡμέτερον γένος καὶ ἕως αἰῶνος καὶ αὐτὸν
αἰσχύνεσθαι τὸν ἥλιον ὁρᾶν· καὶ ταῦτα κατηγορούντων ἐκείνων σὺν λόγῳ
85 πεισόμεθα, ὅπου γε καὶ μηδενὸς ἐγκαλοῦντος, ἀληθείας δικαζούσης, τοῖς
τοῦ πάπα οἰκείοις καὶ ἄλλοις ἀκοινωνήτοις ἡμῖν, συναρίθμιοι κριθησόμεθα.

Εἰ δὲ μὴ συλλειτουργήσω, πῶς αὐτοὺς εὐλόγως ἀπώσομαι ἢ μᾶλλον
πῶς μὴ πρὸς αὐτῶν κατὰ τὸ δοκοῦν δικαίως τεθνήξομαι; τί δὲ καὶ τοῖς πέμ-
ψασιν ἀπολογήσομαι, ὧν ἐνετείλαντο τἀναντία διαπραξάμενος; ἐκεῖνοι πάν-
90 τως ὡς ἐπὶ πράγμασί τε τετελεσμένοις ἀπέστειλάν καὶ παρήγγειλάν μοι
«ἐὰν μόνον δέξονταί σε, συλλειτούργησον αὐτοῖς μηδὲν ὑφορώμενος καὶ
μηδὲν προσθήσῃς περὶ σαυτοῦ». Ὁ ἅγιος βασιλεὺς ἐπέταξέ μοι «εἴ τι ἂν
p.343β εὕροις, πίασαι», ὁ οἰκουμενικὸς ἔγραψεν | αὐτοὺς συλλειτουργούς, ἡ Σύνο-
δος πέπομφε γράμματα δεχομένη αὐτούς, οἱ σύντροφοί μου προστίθενται
95 τοῖς ἄλλοις, οἱ ἐπίσκοποι καὶ οἱ σὺν αὐτοῖς ἤδη ἐνδύονται συλλειτουργῆσαι
ἡμῖν· οὐδεὶς ὁ κωλύων, εἰ μὴ μόνος ἐγώ. Στενά μοι πάντοθεν· νῦν ἰδού, πά-
ρεστι τὰ ὀλύμπια· ψυχὴ στῆθι, καρδία στηρίχθητι. Ὁ Θεὸς μετ' ἐμοῦ καὶ οὐ
φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

Ταῦτα γοῦν καὶ τὰ τούτοις σύντροφα λογισάμενος, κατέφυγον ἐπὶ τὸν
100 μόνον σῴζειν δυνάμενον καὶ ἔδωκέ μοι αὐτίκα καὶ ἰσχὺν καὶ βουλὴν τῇ αὐτοῦ
χάριτι. Καὶ εὑρὼν πρόφασιν εὔλογον, ὡς δῆθεν ἔχων λόγους ἀναγκαίους
κοινῇ αὐτοῖς ἀναθέσθαι, καὶ οὐκ ἂν αὐτοῖς συλλειτουργήσω, εἰ μὴ πρότερον
p.344α πάντων συνέλευσις γένηται, ἐπὶ τῷ τοὺς λόγους | ἀκοῦσαι, ταῦτ' εἰπὼν ἔπεισα
καὶ τοπικὴν σύνοδον γενέσθαι ἠνάγκασα, καθὼς σοι καὶ ἐν τῇ πράξει ταύτης
105 γράφω τῆς συνελεύσεως.

Συνελθόντων οὖν ἐν ταὐτῷ πάντων τρόπῳ τοιῷδε, παρρησίᾳ καὶ νενί-
κηκα καὶ ἐδικαιώθην καὶ ἦρα ὄνειδος αἰώνιον ἀπὸ τοῦ γένους ἡμῶν καὶ ἐμεί-
ναμεν πάλιν τοῦ εἶναι ὀρθόδοξοι ἔνθεν τοι καὶ ἐπίσημοι λογίζεσθαι. Ὅτι
κἂν μὴ δι' οὐδὲν ἄλλο, ἀλλὰ καὶ μόνον διὰ τοῦτο ὁ Θεὸς ᾠκονόμησε τῆς Κρή-
110 της ἐκβῆναί με, ἐπεί, εἴ τις ἔμελλεν ἄλλος πεμφθῆναι, ὢ φεῖσαι Κύριε, οὐ-

75-76 Λουκ. ιε' 24, 32   97-98 Ψαλμ. ριη' 6

78 ἐροῦσιν om. P   81 ἄκοντας σιωπᾶν codd.   89-90 πάντες codd.   90 τελεσμένοις codd.   93 id est πίασε   94 δεχόμενα codd.   107 ἡμῶν om. K

*δὲν ἐμέλλομεν εἶναι τὸ τήμερον. Ἀλλ᾽ ἐπειδὴ ἐγὼ μὲν ὑπὲρ τοῦ ἀγαθοῦ ἐκείνου σκοποῦ τοσούτους ὑπέστην θανάτους ὅσας ἔζησα ἐν τῇ ἀποδημίᾳ ἡμέρας, τὸ δὲ πρᾶγμα, ἄλλως ἔχον ἢ ὡς ἐδόκει, ἄλλως καὶ ἤνυσται πάν-* p.344β *τως, ὥς | γε Θεῷ καὶ ἡμῖν, οὐχ ὡς ἤρεσκε τοῖς κυρίοις ἡμῶν καὶ αὐτοῖς* 115 *τοῖς Κυπρίοις, ἐδόκουν ἐκεῖθεν ἐπανελθὼν τοῖς ἀλόγως τὰ πράγματα κρίνουσι, μηδὲν γενναῖον ἐπιδειξάμενος ἀλλ᾽ ἀποδημήσας ὡς ἔτυχε καὶ ἐπαναστρέψας ὡσαύτως.*

*Ὅτε γοῦν ἤλθομεν εἰς τὴν Πόλιν, αὐτῇ τῇ ἡμέρᾳ ἐρωτηθεὶς παρὰ τῶν μεγίστων περὶ τῆς πρεσβείας μου ταύτης, λεγόντων «πῶς οὐκ ἐκοινώνησας* 120 *αὐτοῖς, ὥσπερ ἄρα σοι παρηγγείλαμεν;» ἀπεκρινάμην πολλὰ μὲν καὶ ἄλλα καλῶς ἔχοντα καὶ τοὺς πολλοὺς πείθοντα σιγᾶν· ὕστερον δὲ τῶν πολλῶν ἦσαν καὶ ταῦτα. «Οὐκ ἐμὸν θέλημα, ἀλλ᾽ ὡς ἔδοξε τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῇ ὑπερτάτῳ καὶ μακαρίᾳ Τριάδι, οὕτως ἐποίησα. Καὶ οὐ τῷ θελήματι τῆς κάτω, ἀλλὰ τῆς ἄνω Ἐκκλησίας τῶν πρωτοτόκων* p.345α *διεπραξάμην· ἐκεῖ ἐγὼ | κρίνομαι. Μᾶλλον δὲ τό τε τοῦ Θεοῦ θέλημα καὶ τὸ ὑμέτερον ἐπλήρωσα ἐν ταὐτῷ. Ὅτι ὁ σκοπὸς τῆς ὑμῶν ὑπεροχῆς, ὑπὲρ οὗ καὶ ἀπεστάλην, οὐκ ἦν τὸ ἀμετανοήτους ἑνῶσαι τῇ Ἐκκλησίᾳ, ἀλλὰ τοὺς ἐφ᾽ οἷς ἥμαρτον μετανοοῦντας ὡς δεῖ. Ὅθεν οὐδὲ πρὸς τῆς ὑμῶν ὑψηλότητος δικαίως κριθήσομαι, ὅτι ἄλλως ἢ ὡς ἀπῄτει τὸ πρᾶγμα διεπραξάμην· οὐδὲ* 430 *γὰρ εἰ πρὸς τοῦ Κυρίου μου πεμφθεὶς ἐφ᾽ ᾧ τὰ πλανηθέντα τῶν προβάτων ἀνακαλέσασθαι ἢ ἀνθρώποις νοσοῦσι φάρμακα κεράσαι σωτήρια ἢ σῖτον ἐναπολειφθέντα που τῆς χώρας συναγαγεῖν εἰς τὴν ἀποθήκην, εἶτα ἀπελθὼν εὗρον τὰ μὲν ἤδη λυκόβρωτα γεγονότα, τοὺς δὲ προτεθνηκότας καὶ* p.345β *ὀδωδότας, τὸν δὲ εἰς ζιζανίων φύσιν μετατραπέντα,| ὅτι μὴ τὸ πραχθὲν εἰρ-* 135 *γασάμην κατηγορίας τινὸς διὰ ταῦτα ἢ ἐγκλήσεως ἄξιος ἔδοξα τῷ κυρίῳ μου.*

*Καὶ νῦν δὲ οὐκ αὐτὸς αἴτιος τοῦ μὴ κατὰ τὴν ἐξ ἀρχῆς ἡμῶν πρόθεσιν ἀποβῆναι τὸ σπουδαζόμενον, ἀλλ᾽ οἱ πρὸς τὸ μηδὲν ὑφελέσθαι τῶν προσόντων αὐτοῖς κακῶν θέλοντες καὶ ἡμᾶς λεληθότως ὑποτάξαι τῷ Ῥώμης πειρώμενοι· ὡς ἔγωγε ἑλοίμην ἂν τοῦ Θεοῦ χωρισθῆναι καὶ τῇ γεέννῃ μόνος* 140 *παραδοθῆναι ἢ τὴν ὀρθόδοξον Ἐκκλησίαν, ἥτις μόνη τῇ ἄνω τῶν πρωτοτόκων Ἐκκλησίᾳ συνάπτεται, τῇ τῶν Κυπρίων ἑνῶσαι, ἥτις οὐδὲ ἐκκλησία ἐστὶ κατὰ τὸν τῆς ἀληθείας λόγον αὐτόνομος, ἀλλ᾽ ὑποτεταγμένη ἑτέρᾳ, ἡμῖν ἀντιθέτῳ κατὰ πολλά. Οὔκουν ὅτι μὴ τὰ ἄμεικτα συνῆψα μεμπτέος,* p.346α *ἀλλ᾽ ὅτι τοὺς στρεβλοὺς τῶν | εὐθέων διέκρινα καὶ τοὺς ἀναξίους τῶν ἁγίων* 145 *διέστησα, μηδὲν προτιμήσας τῆς ἀληθείας, μᾶλλον ὑποδεκτέος. Πόθεν τοῦτο δῆλον; ἐκ πολλῶν μὲν καὶ ἄλλων κἀκ τούτου δὲ πάνυ, ὅτι δυνατοῦ ὄντος καὶ ῥᾴστου ἐν τρισὶν ὥραις ὅλαις συγκαταβῆναί με μόνον τοῖς ἐν τῇ Κύπρῳ,*

118 *παρά*: *περὶ* codd. 125 *τό, τε τοῦ* PV *τὸ τοῦ* K 141 *συνάπτεσθαι* K



*μυρίων εἰς τοῦτο παρακαλούντων καὶ τυραννούντων με, δώρων, ἀπειλῶν, φόβων, ὑποψιῶν, ὑποσχέσεων, θωπείας, δόξης, φήμης εὐφήμου, ἐνεστώσης* 150 *ὁμοῦ καὶ μελλούσης, πρὸ παντὸς τοῦ γένους ἡμῶν τοῦ πρὸς πειθὼ δεινοτάτου, ὑφ᾽ οὗ καὶ μᾶλλον πᾶς κριτὴς παρασύρεται, πάντα ἐκεῖνα ἀνδρείως ἀποσεισάμενος, σὺν Θεῷ δὲ εἰρήσθω, καὶ γενναίαν ἐν πᾶσι τὴν ἔνστασιν* p.346β *ἐνδειξάμενος, καὶ κατά τι | μηδὲν ὑπενδούς, πτωχείαν ἅμα καὶ δυσαπόνιπτον δυσφημίαν ὅλῃ ψυχῇ καὶ καρδίᾳ ᾑρετισάμην, ἵνα μόνον τηρήσω τὴν ἄσπι-* 155 *λον πίστιν καθαρὰν ἐν Χριστῷ καὶ ἀμώμητον. Καὶ ταῦτα φημί, οὐχ ὥς τι προσκρούσας τῇ Ἐκκλησίᾳ ἢ τῇ γε βασιλείᾳ τῶν ὀρθοδόξων, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐθὲς καὶ εὐάρεστον, ὅσον κατὰ τὴν ἐμὴν πρόθεσιν καὶ γνῶσιν, διαπραξάμενος, βούλομαι καὶ αὖθις μηδὲ ὑμῖν παραχωρῆσαι ἄλλως δοξάζειν ἢ ὡς ἔχει τὰ κατ᾽ ἐμὲ καὶ ὅτι τοιαύτης τὸ πρᾶγμα τοῦτο* 160 *ἐδεῖτο τῆς συμπληρώσεως. Καὶ ταῦτα ἐκ καθαρᾶς καὶ ἀδόλου ἀγάπης καὶ πίστεως, ἧς ἔχω, πρὸς τὴν θειοτάτην ὑμῶν ὑπεροχὴν ἀναφέρω, καὶ ὥσπερ* p.347α *μὴ δόξαι ἀπράγμων πάντῃ ἢ καὶ ἠλίθιος· ἐπεί, κἂν ἄλλως τὰ πρὸς ἐμὲ | διά τι διατεθείητε, αὐτός, Θεοῦ συνεργοῦντός μοι, δοῦλος πιστὸς ὑμῖν καὶ αὖθις μενῶ καὶ εὐγνώμων εἰς ἅπαντα, καθ᾽ ἃ δὴ καὶ Θεῷ χριστιανὸς ἀληθέστατος.*

165 *Ταῦθ᾽ οὕτω καὶ ἀποτόμως ῥηθέντα καὶ γράμμασιν εὐθὺς τυπωθέντα, πολλῶν ἐπαίνων καὶ ἐγκωμίων κατέστη μοι αἴτια. Ἔκτοτε γοῦν ἐπανελθὼν ἐν τῷ φροντιστηρίῳ μου, εἰρηνεύω τῇ χάριτι τοῦ Χριστοῦ, καὶ θελήματί μου οὔτ᾽ ἐπίσκοπος οὔτε πρέσβυς οὔθ᾽ ἡγούμενος γίνομαι.*

*Καὶ ταῦτά σοι διῆλθον, ἀγαπητὲ ἐν Χριστῷ καὶ ὁμόψυχε, ἵνα καὶ αὐτὸς* 170 *γνῷς τὰ τῆς ξενιτείας μου καὶ ἄλλοις εἴπῃς τῶν φίλων καὶ ἵνα μάθῃς ὅτι μνημονεύομεν ἀεὶ τῆς ἀγάπης σου.*

*Ἡ τοῦ Κυρίου μου χάρις σωτηρίαν ψυχῆς σοι χαρίσοιτο.*

## ΠΙΝΑΚΕΣ

### I. ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ



### II. ΛΕΞΕΩΝ

## **Δ'**

## ***Διάταξις Ἰωσὴφ μοναχοῦ Βρυεννίου*** (1421)

*Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἐν ἔτει ͵ςϡλῳ κθῳ μηνὶ Ἰουλίῳ δ', ὡς ἔχων τὰς φρένας ἀβλαβεῖς καὶ ὑγιὴς τῷ σώματι διακείμενος ἐγὼ Ἰωσὴφ μοναχὸς ὁ Βρυέννιος διαθήκην ποιοῦμαι ἐν τοῖς εὑρισκομένοις εἰς τὰς χεῖρας οὐδαμινοῖς καὶ εὐτελέσι πράγμασι κατὰ*
5 *τὸ ἐπικρατῆσαν ἔθος εἰς πᾶσαν γῆν, εἰ καὶ μηδὲν εἰσήνεγκα εἰς τὸν κόσμον τοῦτον, οὐδὲ ἐξενεγκεῖν δύναμαι. Ἐν πρώτοις τοίνυν ἀφίημι τῷ δεσπότῃ μου καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, τῷ πλάσαντι τὸ σῶμά μου καὶ πνεύσαντι τὴν ψυχήν μου καὶ χαρισαμένῳ μοι πάντα τὰ πράγματα τοῦ κόσμου —ἐγὼ δὲ γυμνὸς ἐγεννήθην καὶ γυμνὸς ἀποθνήσκω καὶ γυμνὸς μέλλω παραστῆναι καὶ*

**Δ'** Edidit C, pp. 295 - 296 = Σύλλαβος, pp. 503-504



10 *τετραχηλισμένος εἰς τὸ φοβερὸν αὐτοῦ βῆμα —, ἵνα γοῦν ὄμματι εὐσπλάγχνῳ καὶ ἱλαρῷ θεάσηταί με καὶ ἐκ δεξιῶν αὐτοῦ στήσῃ με δι' ἄπειρον ἔλεος, ἀφίημι αὐτῷ δουκᾶτα χρυσᾶ ἕξ, ἵνα δοθῇ τὸ μὲν εἰς πεινῶντας, τὸ δὲ εἰς διαζῶντας, τὸ δὲ ξένοις, τὸ δὲ γυμνοῖς, τὸ δὲ ἀσθενέσι, τὸ δὲ ⟨τοῖς⟩ ἐν φυλακῇ. Ἀφίω δέκα ὑπέρπυρα εἰς κηδείαν μου καὶ δέκα εἰς μνημόσυνά μου. ἀφίω τὰ βιβλία*
15 *μου πάντα τῇ ἁγιωτάτῃ Μεγάλῃ Ἐκκλησίᾳ καὶ μητρὶ τῶν Ἐκκλησιῶν, τῇ Ἁγίᾳ Σοφίᾳ, τῇ ἐν Κωνσταντινουπόλει (τοῦτο δὲ ποιῶ ὡς ἀχρεῖος δοῦλος καὶ χρεώστης αὐτῆς ἀπαραίτητος)· ἅτινα βιβλία, ἵνα μὴ ἐναλλαγῇ, εἰσὶ ταῦτα· Γραμματική, βιβλίον ἓν περιέχον προσῳδίαν, πρῶτον σχέδος, μέτρα στίχων, παροιμίας, γραμματικὴν τοῦ Γλυκέος, τοῦ Πλανούδη, τοῦ Μοσχοπούλου καὶ*
20 *τοῦ Μαγίστρου. Ἕτερον βιβλίον περιέ|χον ῥητορικὴν καὶ ὄργανον, κάλλιστα καὶ ἀμφότερα. Ἄλλο βιβλίον, ἐν ᾧ τὰ φυσικὰ καὶ ⟨τὰ⟩ μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους, περὶ θείων ζῴων ⟨καὶ⟩ ἀριθμητικὴν Νικομάχου, τρεῖς λόγοι οἱ περὶ ψυχῆς τοῦ φιλοσόφου καὶ τοῦ Βλεμμίδους, ἐγγέγραπται τὰ Μετέωρα. Ἕτερον Βιβλίον, ἡ γεωμετρία, πέντε καὶ δέκα βιβλία, σφαιρικά τινα καὶ ἐπο-*
25 *πτικά. Βιβλίον Ἄλλο ἕν, ἡ μουσική· Μανουὴλ Βρυεννίου, Πτολεμαίου ⟨ἁρμο⟩-νικῶν βιβλία τρία καὶ τὸ Περσικὸν πρόχειρον ἐντετύπωται. Βιβλίον ἕτερον κάλλιστον, ἡ Μεγάλη Σύνταξις· λείπει τὸ ἀντιβόλαιον ὧδε πολύ, διότι ἐβράχη καὶ ἐσάπη. Ἄλλο βιβλίον, τὰ προβλήματα τοῦ Ἀριστοτέλους. Ἕτερον, ἡ τοῦ Κλαυδίου Πτολεμαίου γεωγραφία. Ταῦτα πάντα τὰ ἐννέα τῇ γεννησαμένῃ*
30 *καὶ θρεψαμένῃ τοῦ μνημονεύειν με εἰς τὸν αἰῶνα ἐμῇ μητρὶ τῇ Ἐκκλησίᾳ ἀφίημι. Τὰ μέντοι ῥασά μου τῆς νυκτός, ὃ δὴ λέγεται, καὶ τῆς ἡμέρας, τῷ μετ' ἐμοῦ μοναχῷ Δωροθέῳ ἀφίημι· ἐπίτροπον δὲ καὶ οἰκονόμον εἰς ταῦτα μετὰ τὸν Χριστὸν Ἀλέξιον Ἀπόκαυχον τὸν ζωγράφον ἀφίημι. Συγχωρήσατέ μοι πάντες διὰ τὸν Κύριον· ὑπάγω, ἔρχεσθε.*

## ΠΙΝΑΚΕΣ

### Ι. ΒΙΒΛΙΩΝ

## II. ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ



## III. ΓΡΑΜΜΑΤΙΚΟΣ - ΛΕΞΕΩΝ





# II. ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΣ ΒΡΥΕΝΝΙΟΝ

## Α'

### ⟨Ἀνωνύμου πρὸς Βρυέννιον⟩

*Τιμιώτατε ἐν μοναχοῖς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν ταπεινότητος κῦρ Ἰωσήφ, τοῦ Θεοῦ δέομαι ὑγιαίνειν τὴν ἁγιωσύνην σου καὶ σωματικῶς καὶ ἐπὶ πᾶσι καλῶς ἔχειν τῇ τοῦ παντοδυνάμου Θεοῦ βοηθείᾳ καὶ χάριτι· οὗ τῷ ἐλέει καὶ ἡμεῖς δι᾿ εὐχῶν σου ἁγίων σωματικῶς ὑγιαίνομεν.*

5 *Ἡμεῖς πολλὰ ἐπεθυμοῦμεν καὶ ηὐχόμεθα διὰ παντός, ἵνα εὐοδώσῃ ὁ Θεὸς τὴν σὴν ὁσιότητα καὶ ἐπιστρέψῃς εἰς τὸ μοναστήριον ὑγιῶς καὶ ἀκινδύνως καὶ ἔχωμέν σε εἰς βοήθειαν πολλῶν καὶ παραμυθίαν ἡμῶν· διόπερ εὐχαριστῶ τῷ Θεῷ καὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ καὶ τῇ πανάγνῳ αὐτοῦ μητρὶ καὶ Θεοτόκῳ Μαρίᾳ, ὅτι διεφύλαξάν σε καὶ ἤγαγον εἰς τὸ μοναστή-*
10 *ριον, δέομαι δὲ τῆς τούτου φιλανθρωπίας καὶ ἀγαθότητος, ἵνα καὶ τὸν ἅγιον πατέρα ἡμῶν καὶ καθηγούμενον, τὸν τιμιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς κῦρ Μακάριον, βοηθῆσαι ψυχικῶς καὶ σωματικῶς καὶ κατευοδῶσαι αὐτοῦ τὰ διαβήματα καὶ ἀξιῶσαι ἡμᾶς πάλιν ἰδεῖν αὐ|τὸν διὰ τάχους εἰς τὴν Κωνσταντινούπολιν, καθὼς ὁ Θεὸς θέλει καὶ ἀποδέχεται. Ὅμως ὁ*
15 *Θεὸς ἀπὸ τοῦ ἐλέους αὐτοῦ παρεμυθήσατο τὴν λύπην ἡμῶν ἐπὶ τῇ ἀποδημίᾳ ἐκείνου διὰ τῆς παρουσίας ⟨τῆς σῆς⟩. Ἐπεὶ οὖν ἦλθες κατὰ τὰς ἡμετέρας εὐχάς, μηδὲν ὀκνήσῃς ἵνα μᾶς γράψῃς τίποτε ὀλίγα περί ⟨τε⟩ τοῦ ἁγίου τοῦ μητροπολίτου Ῥωσίας ⟨καὶ εἰ⟩ ἔχεις λόγον τινὰ ἐκείνου πρὸς ἡμᾶς· εἴπερ οὐδὲ ἔχεις, τοῦτο εὔκολον· εἰπὲ τὸ χρῄζεις πρὸς τὸν τιμιώτατον ἐν*
20 *ἱερομονάχοις κῦρ Βησσαρίωνα καὶ αὐτὸς θέλει γράψειν πρὸς ἡμᾶς· ἐγὼ γὰρ κατὰ τὸν παρόντα καιρὸν οὐ δύναμαι ἐλθεῖν αὐτόθι, εἰ μὴ που νὰ παρέλθῃ ὁ καιρὸς τοῦ τρύγους. Καὶ θαρρῶ ἕως τότε ἢ ὁ καλόγερός μας νὰ ἔλθῃ μετὰ τῶν κατέργων ἢ νὰ μάθωμεν ἀκριβέστερον περὶ αὐτοῦ καὶ τότε, Θεοῦ θέλοντος, μέλλω ἐπιδημήσειν καὶ αὐτός. Τέως δὲ παρακαλῶ τὴν σὴν ἁγιότητα,*

---

**Α'** Edidit C, pp. 296 - 297, et Tomadakis in ΕΕΒΣ ΚΘ', 1959, p. 33.
5 *ἐπιθυμοῦμεν - εὐχόμεθα* C 16, 17, 18 add. C

25 *γράψον μοι τίποτε νὰ ἠξεύρω. Τὸν δεσπότην καὶ πατέρα μου, τὸν τιμιώτατον ἐν ἱερομονάχοις κῦρ Νεόφυτον, ποιῶ μετάνοιαν. Πᾶσαν τὴν ἐν Χριστῷ ἁγίαν ἡμῶν συνοδίαν χαιρετῶ καὶ προσφθέγγομαι. Ἡ τοῦ Θεοῦ χάρις καὶ ⟨τὸ⟩ ἔλεος εἴη μεθ᾽ ὑμῶν. Ἀμήν.*

28 τὸ add. C

## Β′

### Ἰωσὴφ (Φιλαγρίου) πρός τινα Ἰωσὴφ φιλόσοφον, ἑαυτοῦ ὑπάρχοντα φίλον.

*Ἔλαθεν ἡμῖν τὸ ὂν ἀντὶ τοῦ δυνατὸν ἐν τῇ τοῦ Ψῖ Ὁμήρου ῥαψῳδίᾳ ὡς τὸ οὗτος ὅς, ἀνέδην ὁ θείς· ἔχει δὲ τὸ μέν, ἐπεί με ὅπως ἔχω ἠρώτησας γράφειν, ὡς εἶδες· θάτερον δὲ ὡς ἔγωγε καὶ Θεός. Φιλοσόφει δ᾽ ἐνταῦθα ἴσως καὶ ἀντ᾽ ἐμοῦ, ἐπεί με τῆς ἐπιστήμης αἱ βάναυσοι κωλύουσι τέχναι.* 5 *Ὅμως καί τι νεανικὸν φθέγξομαι· ἐξότου γὰρ ὡς ἐν εἰσαγωγῇ, οὐ γὰρ τελείως τούτων ἐτρύφησα τῆς φιλοσοφίας, τὰς τοῦ Ἰησοῦ προσηγορίας μεμάθηκα, αἳ τοῖς τῇ ἁμαρτίᾳ ὑπευθύνοις παρέχουσιν ἔλεον, ἔκτοτε ταύτην κατέλιπον τοῖς φιλοσόφοις. Ἥδε γάρ, ὡς οἶμαι, θυγάτηρ ταύτης· πολλὴ δὲ τούτων ἐστὶν ἡ διαφορά, ὡς ἡ μὲν ὄντως μήτηρ μίαν ταύτην τίκτει κυρίαν, ἡ δέ,* 10 *ὡς ἡ πρὶν, ἑπτὰ στεῖρα· καὶ ἡ μὲν ἀρχή, ἡ δὲ τέλος· τὰ δὲ τέλη ἐνεργείᾳ τὰ ἐν ᾧ εἰσιν ἔχει, ἡ δὲ δυνάμει. Περὶ ταύτης, οἶμαι, λελάληται τὸ «Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο». Ταύτης οὖν κἀγὼ τὸ ἁπλοῦν καὶ ἀποίκιλον ἐρασθείς, ὡς ταύτῃ μᾶλλον ἢ ἄλλως ᾑρετισάμην φιλοσοφεῖν. Ταύτην γὰρ ἀεὶ τὴν ἐνέργειαν τὸ κωλῦον οὐκ ἔστιν οὐδέν. Δύναταί γάρ τις ἴσως καθεύ-* 15 *δων καὶ ἐνεργῶν καὶ ἐσθίων ἐν ταύτῃ φιλοσοφεῖν, εἰ καὶ ἅμα δοκεῖ εἶναι τὰ ἐναντία. Ἓν γὰρ τῶν κτισμάτων ἐν τῷ αὐτῷ χρόνῳ ἅμα ἔχει ἐνεργείᾳ τὰ ἀντικείμενα· καὶ τούτων ἕκαστον ἐν τῷ αὐτῷ καιρῷ ἀεὶ τὸ οἰκεῖον ἐνεργεῖν δύναται· νοῦς γὰρ ἐναντίον καὶ αἴσθησις. Τοῦτο οὖν τὸ τοῦ δημιουργοῦ πρόσταγμα ὑπεῖκον καλῶς καὶ τὴν τούτου [. . . . .] δεικνύον ἐν ἀδυνάτοις ἰσχύν, ἐνεργεῖ καὶ ἔχει ἐν τῷ αὐτῷ χρόνῳ ἐνεργείᾳ ἅμα τὰ ἀντικείμενα.*

*Ὁ Ἰωσὴφ τῷ Ἰωσὴφ χαίρειν.*

11 - 12 Λουκ. ι′ 42

*Β′* Edidit T (p. 138) e cod. Angel. 30 (c. 3. 16), f. 378ᵛ.



## Γ′

[Ἰωάννης Χορτασμένος (; 1370 - 1436/7 ;)]

### Τῷ τιμιωτάτῳ ἐν μοναχοῖς καὶ φιλοσόφῳ κυρῷ Ἰωσὴφ

*Τὰ κατὰ Κύπρον ὑμῖν πεπραγμένα μικρὸν ἔμπροσθεν ἀπὸ τοῦ σοῦ συγγράμματος ἐπιγνούς, ἐμακάρισα μὲν τὴν σὴν γλῶσσαν οὕτω πάνυ καλῶς δυναμένην τῆς ἀληθείας προπολεμεῖν, τὴν δὲ Κυπρίων ἐλέησα συμφοράν, εἰς οἵαν ἀνομίαν ἐμπεπτώκασι. Καίτοι γε ἐν ἀρχῇ τὰ γεγραμμένα διεξιών,* 5 *ἐπὶ πολὺ μὲν προηγόμην γελᾶν, ὁπότε τούτων ἀπολογουμένων ἀκούοιμι, καὶ ἀκρατῶς εἶχον πάνυ τοῦ πάθους, βαρβάρῳ καὶ δυσήχῳ βοᾷ, φησὶν Εὐριπίδης, τὰ ὦτα κατακρουόμενος. Ἔπειτα, λογισμῷ τὸ πρᾶγμα δοὺς μικρὸν ὕστερον, καὶ τὴν ἀπώλειαν τῶν τοσούτων ἐννοήσας ψυχῶν, τῆς ἐναντίας ἐγενόμην περὶ αὐτῶν διαθέσεως, τοσούτῳ μᾶλλον ἀθλιωτέρους τῶν ἄλλων,* 10 *οἳ Λατίνοις ὑποπεπτώκασι, τοὺς Κυπρίους ὑπολαμβάνων, ὅσῳ μετὰ τῆς πλάνης πρόσεστιν αὐτοῖς τὰ τῆς ἀλογίας, πονηρὰ τῷ ὄντι ξυνωρὶς αὕτη, καὶ δυναμένη τοὺς ἔχοντας εἰς αὐτόν, ὅ φασι, τὸν τοῦ Ἅδου πυθμένα καταγαγεῖν.*

*Ἀλλὰ τοὺς μὲν πολλοὺς οὐδὲν θαυμαστὸν ἄνευ λογισμοῦ φέρεσθαι καὶ* 15 *ποιεῖν ἀντὶ τῶν καλῶν τὰ πρὸς ἡδονήν. Τὸ δὲ τοὺς ἐκείνων ἱερωσύνης ἀξιώματι προϊσταμένους παράδειγμα γίνεσθαι παντοδαπῆς πονηρίας τῷ πλήθει, ἔστι δ᾽ ὅτε καὶ ὑπερβάλλειν, ποίας οὐ ταῦτα βαρύτερα συμφορᾶς; Καίτοιγε ἐκ προοιμίων λαμπρὰς ἡμῖν ὑπέφαινον τὰς ἐλπίδας, καὶ πάντες ᾤοντο μεταμέλειν ἐκείνοις τῆς πρὸς Λατίνους κοινωνίας. Ἦσαν δὲ οἳ καὶ τοὺς ἐκεῖσε* 20 *βαδίζοντας ὑμᾶς εὐδαιμόνιζον, ὡς ἂν ἐπὶ τοῦ Ἀλκίνου κῆπον ἰόντας, ἀλλ᾽ ὡς ἔοικεν, εἵμαρτο καὶ τῇδε τῇ νήσῳ Λατίνων λύμης εἰς κόρον ἐμφορηθῆναι, πολλῷ πλέον, οἶμαι, δυναμένης διαφθείρειν τὰς πόλεις ἢ τῆς οὐρανίας Ἀφροδίτης αἱ ἀπόρροιαι, ἐπὶ τοῦ διὰ Κυπρίων ἀκτινοβολούμεναι κλίματος, εἰ δεῖ τοι κἀνταῦθα τῷ μύθῳ μὴ ἀπιστεῖν.*

25 *Καὶ διὰ τοῦτο οἱ πολλῶν ἄξιοι πρεσβευταί, λέγω δὴ τοὺς ἡμέτερους, καὶ τῆς εἰρήνης, ὡς ἄν τις φαίη, μεσῖται ἐν ἀλλοτρίᾳ καθήμενοι τὰ τῶν αἰχμα-*

6 Εὐρ. Ὀρ. 1385

*Γ′* Edidit H. Hunger, Johannes Chortasmenos Briefe..., Wien 1969, pp. 161-162. Correxi interpunctionem in v. 11 (*ἀλογίας, πονηρὰ* pro *ἀλογίας πονηρά,*).

*λώτων ἠναγκάζοντο ὑπομένειν, μᾶλλον δὲ ὡς κακοῦργοί τινες ἥκειν ὑπω-*
*πτεύοντο κατασκοπήσειν τοῖς Κυπρίοις τὰ πράγματα. Οὕτω, παρὰ πᾶσαν*
*ἐλπίδα καὶ προσδοκίαν, ἐξέβη τὰ τῆς πρεσβείας αὐτοῖς καὶ τὸ τῆς παροιμίας,*
30 *ἐπὶ θησαυρὸν ἀπιόντες περιέτυχον ἄνθραξι. Οὐ μὴν ἡ τῶν ἀναγκαίων ἀπορία*
*καὶ τὰ παρ' ἐλπίδα συμπτώματα τοὺς γενναίους ἀνέπεισαν ἀνάξιόν τι τῶν*
*αὐτοὺς προπεμψάντων βουλεύσασθαι καὶ ταπεινὸν ἐνιδεῖν τῷ καιρῷ. 'Αλλ'*
*ὄντες, ὡς ἀληθῶς, ἀληθείας πρεσβευταί, χρήματα μὲν πολλὰ λαμβάνειν ἐξὸν*
*παρεώσαντο, τοὺς δὲ ἀθλίους ἐκείνους οὐ διέλιπον νουθετοῦντες, μόλις ποτὲ*
35 *ἀνανεῦσαι τοῦ βυθοῦ τῆς ἀπάτης, καὶ τῷ τῆς ἀληθείας ἡλίῳ τοὺς ὀφθαλμοὺς*
*προβαλεῖν. 'Ως δ' ἁπλῶς εἰπεῖν, ἔργῳ πᾶσιν ὑπέδειξαν, ὅτι ἄρα οὐχ ὑπόκρι-*
*σις καὶ πανουργία τὸ παρ' ἡμῖν, ἀλλὰ πᾶν τοὐναντίον, καὶ τῆς τῶν δογμάτων*
*ἀκριβείας οὐδὲν ποιούμεθα προτιμότερον, κἂν διαρραγῶσι Λατῖνοι ψευδό-*
*μενοι καθ' ἡμῶν.*
40 *Θαυμαστὴ μὲν οὖν, ὅπερ ἔφην, τοῖς ἡμετέροις πρέσβεσιν ἡ περὶ τἄλλα*
*φιλοσοφία (οὕτω γὰρ ἐγὼ καλῶ τὴν τῶν χρημάτων ὑπεροψίαν, ἅπερ ἂν σφί-*
*σιν ὑπῆρξεν ἐκεῖθεν ἔχειν, οἰκονομικῶς μᾶλλον ἤ, ὡς προσῆκον ἦν, τῷ πρά-*
*γματι χρησαμένους), θαυμασιωτέρα δὲ ἡ ὁμόνοια, δι' ἥν, ὥσπερ τι γενόμε-*
*νοι τεῖχος ἄρρηκτον, οὐδεμίαν παρείσδυσιν καθ' ἑαυτῶν, κολακείᾳ καὶ ἀπάτῃ,*
45 *κατέλιπον, ὥστε δυνηθῆναι κατασεῖσαι διὰ χρημάτων τὴν τῆς διανοίας ἀκρό-*
*πολιν.*
*Τούτων τοιγαροῦν ἁπάντων αἰτία μὲν ἐξ ἴσου καθέστηκεν ἡ τῶν τριῶν*
*ἀρετὴ πρεσβευτῶν, κατά γε τὸν ἡμέτερον λόγον. Ἕτερος δ' ἄν τις εἴποι τῆς*
*ἀκριβείας ἐφικνούμενος, τὸν θαυμάσιον ἐν μοναχοῖς 'Ιωσὴφ οὐκ ὀλίγον, εἰ*
50 *μὴ καὶ πλέον τι τῶν ἄλλων παρ' ἑαυτοῦ ταῖς πράξεσι συνεισενεγκεῖν, καὶ τού-*
*τους ἡδέως τῶν πρωτείων ἐκείνῳ παραχωρεῖν, φύσεώς τε καὶ γλώττης ἕνε-*
*κεν καὶ τοῦ περὶ τὴν ἀλήθειαν ζήλου. Δι' ὅν, κινδυνεύσας χθὲς καὶ πρώην,*
*ὡς εἰπεῖν, παρανάλωμα γενέσθαι τοῦ φθόνου, προνοίᾳ Θεοῦ διεσώθη αὐτῶν*
*τῶν πολεμιωτάτων, τὴν ἀρετὴν τοῦ ἀνδρὸς αἰδεσθέντων.*
55 *Καὶ θαυμαστὸν οὐδέν, εἰ πανταχοῦ τῆς ἐλάττονος χώρας ἀξιῶν, ὦ θαυ-*
*μάσιε, σεαυτόν, καὶ τοῦτο λόγοις τε ὁμοίως καὶ ἔργοις ποιῶν κατάδηλον,*
*παρά γε ἡμῶν τῶν εἰδότων τὴν σὴν ἀρετήν, καὶ πολλῷ πρότερον ἀπ' αὐτῆς*
*τῆς ἀληθείας ἔχεις τὴν μείζονα. Καὶ γάρ, εἰ μηδὲν ἄλλο, τοῦτό γε αὐτὸ μόνον*
*ἀποχρῆν οἶμαι τοῖς εὐφημεῖν τὰ σὰ βουλομένοις, πολλῶν ἄξιον ὄντα μηδὲν*
60 *οἴεσθαι διαφέρειν τῶν ἄλλων.*

ΝΙΚΟΛΑΟΣ Β. ΤΩΜΑΔΑΚΗΣ

---

29 D. Karathanasis, Sprichwörter, σ. 97

# ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ ΠΡΟΣΩΠΟΓΡΑΦΙΚΑ ΚΑΙ ΦΙΛΟΛΟΓΙΚΑ

## ΑΘΑΝΑΣΙΟΣ ΠΑΤΕΛΛΑΡΟΣ ΚΡΗΣ (1595; - 1654)

## μητροπολίτης Θεσσαλονίκης (1630/31 - 1646) καὶ ἐπιβάτης τοῦ Οἰκουμενικοῦ θρόνου (1634, 1652)

### ΒΙΟΣ ΚΑΙ ΕΡΓΟΝ

Α'

### ΒΙΒΛΙΟΓΡΑΦΙΑ

'Αθανασίου Κομνηνοῦ 'Υψηλάντου, Τὰ μετὰ τὴν Ἅλωσιν..., 1870, ἐν Κωνσταντινουπόλει (μερικῶς ἐκδοθέντα ὑπὸ Γερμανοῦ 'Αφθονίδου), σσ. 136 - 153 passim, ἐν σ. 153 τὸ πρῶτον ἡ παραίτησις τοῦ 'Αθανασίου Γ' κατ' 'Ιούλιον 1651). ⟨'Ανατύπωσις ὑπὸ Μ(ηνᾶ) Δ.Χ.(αμουδοπούλου), ΕΑ Α', 1880, σ. 105 .

Δοσιθέου πατριάρχου 'Ιεροσολύμων, Δωδεκάβιβλος.

Γεωργίου 'Ιω. Ζαβίρα, Νέα 'Ελλὰς ἢ 'Ελλην. Θέατρον², 'Αθῆναι 1972, σσ. 170 - 171 (ἡ α' ἔκδοσις τῷ 1872 ἐπιμελείᾳ Γ. Κρέμου, ἡ β' ἔκδοσις ἐπιμελείᾳ Τάσου 'Αθ. Γριτσοπούλου, 'Αθῆναι 1972).

Κ. Ν. Σάθα, Νεοελληνικὴ Φιλολογία, ἐν 'Αθήναις 1968, σ. 245.

Τοῦ αὐτοῦ, Μεσαιωνικὴ Βιβλιοθήκη, τόμος Γ', ἐν Βενετίᾳ 1872, σ. 574 (ὁ 'Αθ. λαμβάνει προεδρικῶς τὴν Θεσσαλονίκην καὶ τὴν μονὴν Βλαττέων, Αὔγουστος 1639).

'Ανδρονίκου Δημητρακοπούλου, 'Επανορθώσεις Σφαλμάτων τῆς Νεοελλ. Φιλ. τοῦ Κ. Σάθα, Τεργέστη 1872 (ἀφοριστικὸν κατὰ 'Αθ. Πατελλάρου ὑπὸ Κυρίλλου Λουκάρεως καὶ οὐχὶ τοῦ Κονταρῆ⟩, σσ. 23 - 26).

Τοῦ αὐτοῦ, 'Ορθόδοξος 'Ελλάς, ἐν Λειψίᾳ 1872, σσ. 152 - 153.

Μανουὴλ Γ. Γεδεών, Πατριαρχικοὶ Πίνακες, ἐν Κωνσταντινουπόλει 1890, σσ. 550 καὶ 580 - 581.

É. Legrand, BH (Bibliographie Hellénique XVII s. I, 1894, σ. 329 (περὶ ἐπιγράμματος τοῦ Ματθ. Κιγάλα πρὸς τιμὴν τοῦ 'Αθ. Πατελλάρου) καὶ σσ. 374 - 375 (Στίχοι Νεοφύτου Πατελλάρου εἰς τὴν μετάφρασιν Κ.Δ. ὑπὸ Μαξίμου Καλλιπολίτου).

At. Papadopoulos-Calimach, Despre Atanasie Patelarie, patriarch ecumenic "Consorbiri literare" XXIII, 1890, N° 12, σσ. 1022 - 1024, 103 β ⟨δὲν τὸ εἶδον⟩.

Διάφορα 'Ελληνικὰ γράμματα ἐκ τοῦ ἐν Πετρουπόλει μουσείου τῆς Α.Ε. τοῦ κυρίου Nicolas Likhatcheff, ἐκδιδόμενα μετὰ παραρτήματος καὶ προλόγου ὑπὸ 'Αθ. Παπαδοπούλου-Κεραμέως, ἐν Πετρουπόλει 1907 (ὅπου σσ. ιβ'- κβ' καὶ 11 ἐν φωτοτυπικῷ πίνακι ἡ πρὸς τὸν πάπαν Οὐρβανὸν Η' ἐπιστολὴ τοῦ 'Αθ. Πατελλάρου ἐξ 'Αγκῶνος τῆς 23 Σεπτεμβρίου 1635).

G. Hofmann, Patriarch Athanasios Patellaros - Seine Stellung zur Römischen Kirche, (Orientalia Christiana) OC XIX, n. 63, Σεπτ. 1930, σσ. 205 - 280 (μετὰ τῶν κειμένων τῆς σχετικῆς ἀλληλογραφίας). ⟨Κρίσις ὑπὸ Χρυσοστόμου Παπαδοπούλου, Θεολογία 9, 1931, σσ. 181 - 186⟩.

Τοῦ αὐτοῦ, Athos e Roma OC V, 2, 1925, σσ. 139 - 140.

Τοῦ αὐτοῦ, Rom and Athos OC VIII, 1926, σσ. 5 - 6.

Τοῦ αὐτοῦ, Rom und der Athos...Nicolaus Rossi und der Kongregation de Propaganda Fide, Roma 1954 (Orientalia Christiana Analecta, 142). ⟨Γνωριμία Πατελλάρου καὶ Νικ. Ρώσση ἐν 'Αγίῳ "Ορει καὶ Θεσσαλονίκῃ (1634 - 1642)⟩.

μητροπ. Σάρδεων καὶ Πισιδίας Γερμανοῦ, Συμβολὴ εἰς τοὺς Πατριαρχικοὺς Καταλόγους Κωνσταντινουπόλεως ἀπὸ τῆς 'Αλώσεως καὶ ἑξῆς. Μέρος πρῶτον (1454 - 1702) ἐν Κωνσταντινουπόλει 1935, σσ. 112 - 117 (σσ. 115 - 117 : 'Υποσχετικὸν ἐπὶ τῇ ἀναλήψει τῆς προεδρείας καὶ προστασίας τῆς μητροπόλεως Θεσσαλονίκης, μηνὶ Αὐγούστῳ 1639).

Κ. Δ. Μέρτζιου, Μνημεῖα Μακεδονικῆς 'Ιστορίας, Θεσσαλονίκη 1947, εἰς τὰς σσ. 505 - 521. Περὶ 'Αθανασίου Γ' ὡς μητροπ. Θεσσαλονίκης σσ. 505 - 511.

A. M. Ammann, Athanase III Patellaros patriarche de Constantinople, ex-catholique et Saint Russe(!), "Revue des Études Slaves" 28, 1951, σσ. 7 - 16 (Paris).

Τάσος 'Αθ. Γριτσόπουλος, 'Αθανάσιος Γ' πατριάρχης Κωνσταντινουπόλεως, ΘΗΕ 1, 1962, στῆλαι 518 - 520.

Νικ. Β. Τωμαδάκης, 'Ο Νεόφυτος Πατελλάρος καὶ τὰ μοναστήρια τῆς Κρήτης, Μνημοσύνη 1, 1967, σσ. 32 - 40.

Μάξιμος ὁ Γραικὸς (1478 - 1556) καὶ 'Αθανάσιος Πατελλάρος (1597 - 1654). Δύο ἑλληνικαὶ προσωπικότητες παιδευθεῖσαι ἐν 'Ιταλίᾳ καὶ τιμώμεναι ὡς ἅγιοι ἐν Ρωσίᾳ, ὑπὸ Κωνσταντίνου Κ. Παπουλίδη, Θεολογία 41, 1970, σσ. 638 - 644. Βιβλιοκρισία μου ἐν ΕΕΒΣ ΜΑ', 1974, σσ. 519-520.

Georges Crontz, 'Ο οἰκουμενικὸς πατριάρχης 'Αθανάσιος Πατελλάρος ἐν Μολδαβίᾳ κατὰ τὸ πρῶτον ἥμισυ τοῦ δεκάτου ἑβδόμου αἰῶνος, «Πεπραγμένα Γ' Διεθνοῦς Κρητολογικοῦ Συνεδρίου», τόμος Β', 1974, σσ. 44 - 48.

Γεωργίου Π. Σαββαντίδη, Εὐσταθίου Πατελλάρου Octoechus in versu elegiaco traducta, διατριβὴ ἐπὶ διδακτορίᾳ, 'Ιωάννινα 1974 (ὅπου βιογραφικὰ τῶν Ρεθυμνίων Πατελλάρων).

'Αποστόλου Γλαβίνα, Μητροπολῖται Θεσσαλονίκης κατὰ τὸν ΙΖ' αἰῶνα, 'Επιστ. 'Επετ. Θεολ. Σχολῆς Πανεπ. Θεσσαλονίκης 22, 1977, σσ. 75 - 162, ἐν σσ. 92 - 98, 104 - 108 καὶ 111 - 117 καὶ ἐν τοῖς ἐνδιαμέσοις περὶ τῶν τριῶν ἀρχιερατειῶν τοῦ 'Αθανασίου Πατελλάρου.

Ζαχαρία Ν. Τσιρπανλῆ, Τὸ 'Ελληνικὸ Κολλέγιο τῆς Ρώμης καὶ οἱ μαθητές του 1576 - 1700, Πατριαρχικὸν "Ιδρυμα Πατερικῶν Μελετῶν Θεσσαλονίκης 1980 ⟨περὶ Πατελλάρων σπουδασάντων εἰς τὸ Κολλέγιον τοῦτο⟩.

Ariadna Camariano - Cioran, Sur les relations Roumano - Crétoises, Πεπραγμένα Β' Διεθνοῦς Κρητολογικοῦ Συνεδρίου 1961, τόμος Β', ἐν 'Αθήναις 1963, σσ. 16 ἑξ. 'Εν σσ. 19 - 24 : Athanase Patellaros. Σχέσεις του πρὸς τὸν ἐν 'Ιασίῳ ἡγεμόνα τῆς Μολδαβίας Basile Lupu (1634 - 1653) καὶ ἐξύμνησις τοῦ προσώπου καὶ τῶν ἔργων του τὸ 1643⟩.



## ΧΡΟΝΟΛΟΓΙΚΟΣ ΠΙΝΑΞ ΒΙΟΥ ΤΟΥ ΑΘΑΝΑΣΙΟΥ

1590 - 1595 : Γέννησις εἰς Ρέθεμνος ἐκ πατρὸς Γεωργίου Πατελλάρου καὶ μητρὸς ἐκ τοῦ γένους τῶν Portius.

1605 - 1625 : Σπουδαί. 'Εγκαταβιοῖ εἰς "Αγιον "Ορος (Μ. Λαύραν;), ὅπου καὶ λαμβάνει τοὺς δύο πρώτους βαθμοὺς τῆς ἱερωσύνης.

1620 Νοεμβρίου : 'Εκλέγεται Κωνσταντινουπόλεως ὁ πατριάρχης 'Αλεξανδρείας Κύριλλος Λούκαρις.

1620 Δεκεμβρίου 30 : 'Εκλέγεται πατριάρχης 'Αλεξανδρείας ὁ Κρὴς Γεράσιμος Σπαρταλιώτης. Συνυπογράφει ὁ Θεσσαλονίκης Παΐσιος (καὶ οὐχί, ὡς ἀνεγνώσθη, 'Αθανάσιος).

1620 κατὰ Δεκέμβριον Σιγίλλιον Κυρίλλου Α' περὶ τῆς ἐπισκοπῆς Κασσανδρείας, αἰτήσει τοῦ μητροπ. Θεσσαλονίκης Παϊσίου (Γλαβίνας, σσ. 82 - 83).

1624 'Ιουλίου 17: Νέον συνοδ. ἔγγραφον ἐπὶ τοῦ αὐτοῦ ἀντικειμένου, αἰτήσει τοῦ Θεσσαλονίκης Παϊσίου (Γλαβίνας, σσ. 84 - 85).

1626 - 1628: Διδάσκαλος ἐν Βλαχίᾳ, μεταφράζει τὸ Ψαλτήριον.

1629 : Τὸν συναντᾷ ὁ οὐνίτης ἱερεὺς 'Αλέξανδρος Βασιλόπουλος εἰς "Αγιον "Ορος.

1629 : 'Ο Θεσσαλονίκης Παΐσιος ἐξακολουθεῖ καὶ ὑπογράφεται (Γλαβίνας, σ. 89, ὡς καὶ κατὰ τὰ ἔτη 1622, 1623, 1624, 1627, αὐτόθι. σσ. 80, 86, 87, 88).

1630 Δεκ. 24 : 'Ο Haga γράφει τῷ Leger ἐκ Θεσσαλονίκης : «siamo allogati nella casa di metropolita», É. Legrand, BH XVII s. IV, 1896, σ. 392. Πρὸ τῆς ἡμερομηνίας ταύτης ἔχει ὁ 'Αθανάσιος χειροτονηθῆ Θεσσαλονίκης.

1631 Σεπτέμβριος : Μαρτυρία (BZ VII, 1898, σ. 74).

1632 'Ιουλίου 2 : 'Επιστολή του πρὸς 'Αντώνιον Λεγῆρον (Leger) (Legrand, BH XVII s. IV, 1896, σσ. 406 - 407).

1632 : 'Υπογράφει Συνοδικὸν κανονισμὸν τοῦ ἁγίου 'Ιωάννου τοῦ ἐν Κρήτῃ (Γδερνέττου). Σιγίλλιον τοῦ Λουκάρεως. L. Petit, BAG, Bruxelles 1926, σ. 115. ('Η 'Ακολουθία τοῦ 'Αγίου ἐτυπώθη τὸ πρῶτον 1782). Τὸ ἔγγραφον ὁ Ν. Β. Τωμαδάκης ΕΕΒΣ ΜϚ', 1983-1986, σσ. (53-)56.

1634 Μαρτίου 6 (ἢ 7) : 'Επιβαίνει τοῦ οἰκουμενικοῦ θρόνου, ἐξορίζων τὸν Λούκαριν, καὶ ἐγκαθίσταται εἰς αὐτὸν ὑπὸ τοῦ 'Ιεροσολύμων Θεοφάνους καὶ 14 ἀρχιερέων.

1634 Μαρτίου 16 : 'Υπόμνημα τοῦ ἐπισκόπου Θεουπόλεως καὶ Ρεντίνης Δαμασκηνοῦ, ἀντὶ τοῦ ἐν Θεσσαλονίκῃ ἀρχιερατεύσαντος 'Αθανασίου, οὕτω ἀναχθέντος εἰς τὸν πατριαρχικὸν θρόνον Κωνσταντινουπόλεως. Κ. Ν. Σάθας, ΜΒ Γ', 1872, σ. 570.

1634 'Απρίλιος (ἢ Μαΐου 2): Καταβιβάζεται τοῦ θρόνου, ἀφορίζεται ὑπὸ τοῦ ἐπανερχομένου Λουκάρεως. (Τὸ σχετικὸν ἔγγραφον ἐδημοσίευσε πρῶτος ὁ 'Ανδρ. Δημητρακόπουλος, ἀποδοὺς αὐτὸ εἰς τὸν Κύριλλον Β' τὸν Κονταρῆν. 'Ορθῶς ἀπέδωκεν αὐτὸ εἰς τὸν Κύριλλον Α' τὸν Λούκαριν ὁ 'Αθαν. Παπαδόπουλος Κεραμεύς, 'Ιεροσ. Βιβλιοθήκη IV, 1899, σσ. 17 - 18).

1634 Σεπτέμβριος : 'Ο 'Αθ. κρύπτεται ἐν Κωνσταντινουπόλει καὶ ἀλληλογραφεῖ μετὰ τῶν ἐκεῖ καθολικῶν πρέσβεων. Δύο ἐπιστολαί του πρὸς τὸν πρεσβευτὴν Shmidt ⟨Hofmann, AP, σσ. 224 - 226⟩.

1635 Αὔγουστος: 'Ο 'Αθ. φθάνει εἰς Ζάκυνθον, ὅπου συναντᾶται μὲ τὸν Λατῖνον ἐπίσκοπον καὶ τὸν γνωστόν του οὐνίτην ἱερέα 'Αλέξανδρον Βασιλόπουλον. Σχετικὰ δύο γράμματα τοῦ Βασιλοπούλου καὶ ἄλλο τοῦ ἐπισκόπου πρὸς τὴν Propaganda 20, 21 καὶ 25 Αὐγούστου (H o f m a n n, AP, σσ. 226 - 229).

1635 Σεπτεμβρίου 23: 'Ο 'Αθ. φθάνει εἰς τὴν παπικὴν πόλιν Ancona μὲ σκοπὸν νὰ προχωρήσῃ ἐκεῖθεν πρὸς Ρώμην, ἀλλὰ κωλύεται. 'Επιστολή του πρὸς τὸν ἐν Ρώμῃ καρδινάλιον Barberini (H o f m a n n, AP, σ. 229). 'Ομοίως γράφει πρὸς τὸν πάπαν Οὐρβανὸν Η' (ἑλληνιστὶ) (αὐτόθι, σσ. 230 - 231). 'Ο 'Αθ. ἀποστέλλει πληρεξουσίους του εἰς Ρώμην.

1635 'Οκτωβρίου 1: Πρακτικὸν τῆς Propaganda Fide περὶ Πατελλάρου (H o f m a n n, σσ. 231 - 233).

1635 'Οκτωβρίου 5: Ἕτερον πρακτικὸν τῆς αὐτῆς Prop. Fide, δι' οὗ ἀπαγορεύεται ἡ μετάβασις τοῦ 'Αθανασίου εἰς Ρώμην ('Ο α ὐ τ ό ς, αὐτόθι, σσ. 231 - 235), φανερῶς ἢ κρυφίως.

1635 'Οκτωβρίου 6, 8: Ἕτεραι ἀποφάσεις τῆς Prop. ἀνακοινοῦνται τῷ 'Αθανασίῳ (αὐτόθι, σσ. 231 - 239).

1635 'Οκτωβρίου 21: 'Υπογράφει ὁμολογίαν πίστεως πρὸς τὴν Ρωμαϊκὴν 'Εκκλησίαν.

1635 'Οκτωβρίου 23: 'Ο 'Αθ. ἐξ 'Αγκῶνος εἰς Loretto δι' ἀνεπίσημον προσκύνημα. 'Επιστρέφει αὐθημερὸν εἰς Ancona.

1635 'Οκτωβρίου 24: 'Ο 'Αθ. ὑπογράφει ἀπόδειξιν εἰσπράξεως 1500 σκούδων ἀπὸ τὴν Propaganda (H o f m a n n, AP, σ. 231). Ταῦτα ὑπὸ τύπον viaticum (ταξιδιωτικά του ἔξοδα).

1635 Νοεμβρίου ἀρχαί: 'Ο 'Αθ. ἀναχωρεῖ δι' 'Ενετίαν ἐλπίζων νὰ βοηθηθῇ ὑπὸ τῆς πολιτείας ταύτης ὡς ὑπήκοός της. Οἱ ἀπεσταλμένοι του εἰς Ρώμην (δρ. Γεώργιος Πατελλάρος, ἀνεψιός του).

1635 Δεκέμβριος: 'Ο 'Αθ. ἐξακολουθεῖ παραμένων ἐν 'Ενετίᾳ, ἐν ἀναμονῇ εὐνοϊκῶν ἐξελίξεων ὑπὲρ αὐτοῦ εἰς τὴν Ρώμην. 'Ενισχύεται χρηματικῶς ἀπὸ τὴν 'Ενετίαν διὰ νὰ τὴν ἐγκαταλείψῃ. Διαχειμάζει εἰς 'Ενετίαν.

1636 'Ιανουαρίου 27 (π.ἡ.): 'Η 'Ι. Σύνοδος Κωνσταντινουπόλεως ἐκλέγει μητροπολίτην Θεσσαλονίκης τὸν ἐπίσκοπον Πολυανῆς Καλλίνικον, ἐξωσθέντος τοῦ Δαμασκηνοῦ (L. P e t i t, ÉO V, 1902, σσ. 155, 156).

1636 Μάρτιος: 'Ο Κρὴς μητροπολίτης 'Εφέσου Μελέτιος Παντόγαλος εἰς ἐγκύκλιόν του πρὸς τοὺς Κρῆτας καταφέρεται κατὰ τοῦ 'Αθανασίου (L e g r a n d, BH XVIIIs. IV, 1896, σσ. 232 - 238).

1636 Μαρτίου 10: 'Εξ 'Ενετίας ὁ 'Αθ. γράφει πρὸς τὸν προϊστάμενον τοῦ Κολλεγίου τοῦ 'Αγίου 'Αθανασίου εἰς Ρώμην Tarquinio Gallucci, πιστοποιητικὸν διὰ τὸν Θεσσαλονικέα Νικόλαον Κριτόπουλον (L e g r a n d, BH XVII s. III, 1895, σσ. 192 - 193).

1636 'Απρίλιος: 'Απογοητευμένος ὁ 'Αθ. ἀναχωρεῖ ἐξ 'Ενετίας καὶ κατὰ Μάϊον φθάνει εἰς τὴν Ragusa.

1636 Μάϊος: 'Ο 'Αθ. ἐκ Ραγούζης γράφει πρὸς τὸν πάπαν εἰς Ρώμην, ἀπειλῶν ὅτι θὰ μετέλθῃ πᾶν μέσον, δηλονότι τοὺς ἀλλοεθνεῖς, διὰ νὰ ἐπανέλθῃ εἰς τὸν θρόνον Κωνσταντινουπόλεως (H o f m a n n, AP, σ. 256).

1636 'Ιούνιος: 'Ο 'Αθ. φθάνει εἰς Κέρκυραν, ὅπου τὸν ὑποδέχονται καὶ μετὰ μικρὰν διαμάχην ἀπέρχεται. Ταῦτα ἀναγγέλλει τὴν

1636 'Ιουλίου 5 ὁ Λατῖνος ἐπίσκοπος πρὸς τὴν Προπαγάνδα (H o f m a n n, AP, σσ. 251 - 252).

20 - 6 - 1987



1636 θέρος κέξ.: 'Ο 'Αθ. εἰς Χίον, Πάτμον, Κωνσταντινούπολιν. Ζητεῖ ἀπὸ τοὺς 'Ενετοὺς νὰ ἐγκατασταθῇ εἰς Κρήτην (ὅπου ἀπαγορεύουν οὗτοι τὴν παραμονὴν ὀρθοδόξου ἀρχιερέως). Πληροφορίαι περὶ τῶν κινήσεων τοῦ 'Αθ. ἀπὸ τὸν ἀνεψιόν του (H o f- m a n n, AP, σ. 270).

1637: 'Επιστολὴ Ναθαναὴλ Κωνωπίου πρὸς Ant. Leger περὶ Πατελλάρου (L e g r a n d, BH XVIIs. IV, 1896, σ. 504, N° 203).

1637 Μάϊος: 'Ο 'Αθ. συμβιβάζεται ν' ἀπέλθῃ εἰς Θεσσαλονίκην ἀναλαμβάνων τὴν μητρόπολιν αὐτῆς, ὅπου καὶ διακονεῖ ἀπὸ Αὐγούστου 1637 -'Ιουνίου 1638).

1638 Αὐγούστου 17: 'Ο 'Αθ., κινδυνεύων νὰ συλληφθῇ ἀπὸ τοὺς Τούρκους εἰς τὴν Θεσσαλονίκην, καταφεύγει εἰς Κωνσταντινούπολιν ὅπου κρύπτεται.

1638 Σεπτέμβριος 17: 'Αποτυγχάνει νὰ συνεννοηθῇ μετὰ τοῦ Κυρίλλου Β' (τοῦ ἀπὸ Βεροίας) καὶ ἐπιθυμεῖ ὡς 'Ενετὸς ὑπήκοος νὰ ἐγκατασταθῇ εἰς Κρήτην (H o f- m a n n, AP, σσ. 270 - 271).

1638: Γράφει πρὸς τὸν Δόγην τῆς 'Ενετίας νὰ τῷ παραχωρηθοῦν τὰ εἰσοδήματα τῆς 'Εκκλησίας τῆς Κρήτης, ἀντὶ ταῦτα νὰ δίδωνται εἰς τὸν Κύριλλον Β' (Κ. Δ. Μ έ ρ- τ ζ ι ο ς, ΕΕΚΣ Γ', 1940, σσ. 102 - 113).

1638 'Ιουνίου 28: Μαρτύριον τοῦ Κυρίλλου Α', ὃν διαδέχεται (20 'Ιουλίου) ὁ συνένοχος τοῦ ἐγκλήματος Κύριλλος Β' ὁ Κονταρῆς. Οὗτος ζητεῖ ἀπὸ τὸν 'Αθ. χρήματα, ἀλλ' ὁ 'Αθ. ἀρνεῖται προφασιζόμενος πενίαν.

1638 Σεπτέμβριος: Συμφωνεῖ μὲ τὸν ἐπιβάτην Κύριλλον Β' νὰ ἐγκαταλείψῃ ὁ 'Αθ. τὴν Κωνσταντινούπολιν, μεταβαίνων εἰς τὸ ἐξωτερικόν. Πρὶν φύγῃ, τὴν

1638 'Οκτωβρίου 1 γράφει ὁ 'Αθ. πρὸς τὸν πάπαν Οὐρβανὸν Ζ' ἐκ Κωνσταντινουπόλεως (H o f m a n n, AP, σσ. 271 - 272).

1638 Φθινόπωρον: 'Ο 'Αθ. ἀφήνει τὴν βασιλεύουσαν καὶ κατευθύνεται πρὸς τὸ Αἰγαῖον.

1639: 'Εν ἀρχῇ εὑρίσκεται εἰς Πάτμον, κατ' 'Ιούλιον δὲ 1639 εἰς Χίον, ὅθεν ἀλληλογραφεῖ.

1639 Φεβρουαρίου 23: 'Ο Εὐστάθιος Πατελλάρος πρὸς τὴν Προπαγάνδαν, ὅτι ὁ ἀδελφός του 'Αθ. εὑρίσκετο εἰς Πάτμον (H o f m a n n, AP, σσ. 269 - 270).

